ἀχίων die LA *ἀχαίων*: s. Herm. — 854. *θρηνεῖς* conject. v. Gernhard: s. Neue, Wund. — 855. mit *μηκέτι* schlieſst G. Dind. einen Vers. — 857. mit *κοινοτόκων* schlieſst G. Dind. den Vers. — Vrgl. G. Herm. ad Soph. Oed. Col. 208. 553. 835. ad Eur. Herc. fur. praef. p. XVII. ad Eur. Suppl. praef. p. XIX sqq. —

§. 219. 5, α: Aesch. Prom. V. 877. Soph. Ant. 526. — β. S. ob. §. 118, C, p. 126 folgg. —

§. 220. B, 1: S. ob. §. 205: Boeckh üb. Soph. Antig. Abh. I, in Schrift. d. Berl. Akad. v. J. 1824. p. 85 folgg. — 3. Poll. IV, 109: *ὁπότε μὲν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον* [*παραχορήγημα* conject. Fritzsch. ad Arist. Thesm. p. 251: s. unt. §. 225.] *καλεῖται τὸ πρᾶγμα, εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα* [*παρασκήνιον* Fritzsch. l. c.] *ἐκαλεῖτο. καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Ἀγαμέμνονι Αἰσχύλου*: Schol. ad Aesch. Choeph. 887: *ποῦ δαὶ τὰ*] *μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην, ἵνα μὴ δ' λέγωσιν*: s. O. Mueller zu Aesch. Eumen. p. 110: s. unt. §. 222, b. — 4. C. Lachmann de choricis systematis tragicorum Graecc. libr. IV.

b: Die Ansichten der Alten. — Vernachlässigung der Komödie durch die Alten.

B: Die Theile der Alt-Attischen Komödie nach den Alten.

Unterschied zwischen den von den Alten angegebenen Eintheilungen der Tragödie und Komödie im Allgemeinen.

§. 222. 1: Der Dialogos.

a: Der Dialogos im Prologos.

Halbverse, einzelne Verse und Reden der sprechenden Personen.

Die Stichomythie der Komödie. — Das Streben der Alt-Attischen Komödie nach Parodie.

b: Der Dialogos in den Epeisodien.

Reichhaltigkeit der Metra.

Geltung und Stelle der verschiedenen Metra.

Zank- und Prügelscenen. — Komisch-erhabene Scenen. — Das Utriren des täglichen Lebens. — Das *Παρασκήνιον*.

Behandlung der einzelnen Metra.

Der Schluss des Dialogos in den verschiedenen Metris.

c: Charakteristische Unterschiede zwischen dem Dialogos in der Alt-Attischen Komödie und der Tragödie.

Verschiedenheit der Idealität in der Komödie und der Tragödie. — Uebergang zu der Chorpartie in der Komödie.

---

8. Berol. 1819, ejusd. de mensura tragoediarum liber singularis. 8. Berol. 1822: Welcker Aesch. Tril. Prom. p. 59 ffgl., 64 flgg. —

§. 221, A, b: Meinek. Fragmm. Comic. Graec. I, 531 sqq. — B: Tzetzes *περὶ κωμῳδίας* in Cramer. Anecdd. III, 340, 13: *τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως, Πόσα μέρη τε τυγχάνει κωμῳδίας· Καὶ τῆς παραβάσεως ὁπόσα δὲ τὰ μέρη· Τίνα δὲ ταῦτα τεχνικῶς τε πῶς πρέπει Κωμῳδίας γράφειν τε καὶ τραγῳδίας· Μέρη μὲν εἰσι τέσσαρα κωμῳδίας· Πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου· Τὸ τοῦ χοροῦ μέλος δὲ δεύτερον λέγω· Ἐπεισοδος τρίτον δὲ τί δὲ τυγχάνει Λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο· Τέταρτον ἐστὶν ἔξοδος ταύτης μέρος· Λόγος χοροῦ τις τῷ τέλει λελεγμένος*: Vit. Aristoph. p. 546 Mein.: s. O. Müller in Naeke u. Welck. Rhein. Mus. V, 340. — S. ob. §. 205. 206.

§. 222, 1, a: s. ob. §. 89, 6, p. 76. — S. ob. §. 205, 1, b: §. 89, 1, p. 71. — b: s. ob. §. 89, §. 79, B, b, §. 93, a, δ, §. 119, B. — Schol. ad Arist. Ran. 1451: *Ἀπολλώνιος τοῦ Πλούτωνος εἶναί φησι τοῦτο, καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δ΄. τινὲς δὲ τοῦ χοροῦ*: id. ib. 1503: *τὸ δὲ κρίνοις ἄν, τινὲς τὸν Πλούτωνα λέγειν ἀξιοῦσιν*: M. H. E. Meier in Hall. Liter. Ztg. 1836, Nr. 118, p. 326. Fritzsch. ad Arist. Thesm. p. 252: s. ob. §. 220, 3: vrgl. Arist. Equitt. 240 sqq.

§. 223. 2: **Die Chorpartie in der Alt-Attischen Komödie.**

a: Das Verhältnifs zwischen den Gesängen des ganzen Chors und denen der einzelnen Choreuten in der Alt-Attischen Komödie im Allgemeinen.

b: Die Zahl der Choreuten und die dadurch bedingte Thätigkeit des Chors.

c: Die Bestandtheile des Chors.

d: Die Stellung des Chors. — Die Halbchöre.

§. 224. e: **Die einzelnen Gesänge.**

α: **Die Parodos.**

a: Die Mannichfaltigkeit der Parodos in metrischer und musikalischer Hinsicht.

b: Die *εἰσβολή* und ihr Verhältnifs zur *πάροδος*.

ℵ: **Die von einzelnen Choreuten gesprochenen Parodoi stichischer Composition.** Umfang dieser Parodoi. — Gründe für die Zulassung dieser Parodoi.

---

§. 223, 2, c: Schol. ad Arist. Equitt. 593: *οἱ γὰρ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ καὶ τραγικοὶ χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ὁ μὲν κωμικὸς ἐξ ἀνδρῶν ἤδη καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων, κδ΄, ὡς καὶ οὗτος ἀπηρίθμησεν ἐν Ὄρνισιν, ἄῤῥενας μὲν ὄρνις ιβ΄, θηλείας δὲ τοσαύτας. ὁ δὲ τραγικὸς ιε΄, ὡς Αἰσχύλος Ἀγαμέμνονι. ἔστι δὲ ὅτε καὶ ἡμιχόρια ἵσταντο ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν· ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορὸς, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγ΄, αἱ δὲ γυναῖκες ἕνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες ιγ΄ ἦσαν, οἱ δὲ παῖδες ια΄· εἰ δὲ πρεσβυτῶν καὶ νέων* [v. Arist. Vesp. 290.], *τοὺς πρεσβύτας πλεονεκτεῖν δεῖν φασίν*: v. Boeckh. Tragg. Gr. princc. p. 68 sqq. Süvern üb. Aristoph. Vögel in Abhandl. d. Berl. Ak. v. J. 1827, p. 102. — d: s. unt. §. 227, γ, A, d: Koester de gr. com. parab. p. 4 sq.

§. 224, α, b: Heph. p. 46: *εἰς γὰρ τοὺς Ὀδυσσείας εἰςβάλλων* [sc. *Κρατῖνος*], *τούτῳ μέτρῳ ἐχρήσατο· Τίνες αὖ πόντον κατέχουσ᾽ αὖραι· νέφος οὐράνιον τόδ᾽ ὁρῶμαι*: s. ob. §. 119: Schol. ad Heph. p. 127: [*στροφὴ*] *κατὰ περιορισμοὺς δὲ ἀνίσους* [s. ob. §. 69.], *οἵα ἐστὶν ἡ εἰςβολὴ τῆς Λευκαδίας Μενάνδρου*: v. A. Meinecke Comm. Grr. frr. I, 443: Strab. XIII, 1, 70, p. 616: *ἀφ᾽ οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύλον κατὰ τὴν εἰςβολὴν τοῦ ἐν Μυρμιδόσι προλόγου: Ἰὼ Κάϊκε Μύσιαί τ᾽ ἐπιῤῥοαί*: G. Hermann. Opuscc. V, 139: Antiph. ap. Athen. VI, 223 A: *ἀλλὰ πάντα δεῖ Εὑρεῖν, ὀνόματα καινὰ, τὰ διῳκημένα Πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφὴν, Τὴν εἰςβολήν*: Dionys. Hal. de Lys. §. 17, p. 489, 8, T. V R.: *τὰς εἰςβολὰς τῶν λόγων*: Argum. Eur. Med.: *ἐπαινεῖται δὲ ἡ εἰςβολή*. — ℵ: Schol. ad Arist. Equitt. 247: *ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ ὑπὸ τῶν ἱππέων συμπληρουμένου· οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθήσαντες αὐτῷ*: Schol. ad ej. Vesp. 230: *οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι* [v. Schol. ad Ar. Nub. 275.] *τὴν πάροδον ποιοῦνται*: s. ob. §. 75, § 79, B, b. —

ב: Die lyrischen Parodoi.

Die strophische Composition der Parodoi. — Die Halbchöre. — Einzelne Choreuten. — Die metrische Form.

Unterbrechung der Parodos durch Gespräche der Bühnenpersonen.

ג: Die Parodoi gemischter Art.

Abwechslung zwischen Gesang und Rede, zwischen Vortrag des gesammten Chors und einzelnen Choreuten.

Die Veranlassung zu dieser Composition.

Schwanken der Alten in der Bestimmung dieser Punkte bei Aristophanes.

𝔠: Der Einzug des Chors mit der Parodos.

Die Art der Bewegung. — Die Mannichfaltigkeit im Auftreten des Chors. —

Auftreten des Chors mit Gesang oder Rede. — Stummes Auftreten des Chors.

𝔡: Die Veränderung der Parodos durch einen Doppelchor.

Die Zahl der Choreuten. — Metrische Anordnung.

§. 225. *β*: Die dem Prologos angehörigen Lieder.

𝔞: Die Parachoregemata.

ב: Arist. Nub. 275. — Arist. Thesmoph. 312, u. das. Fritzsche. — Arist. Nub. 291 sqq.: vrgl. Arist. Equitt. 255. Pac. 308: Arist. Av. 223. — Ran. 318. 337. — ג: Schol. ad Arist. Ach. 204: *εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον, καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν, ὧν ἡ μὲν πρώτη ιδ´ κώλων ἔχει τὰς περιόδους... εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς ἐπιμεμιγμένα, καὶ τὸ ς´ καὶ τὸ ὄγδοον καὶ δέκατον διῤῥυθμα, τὰ δ´ ἄλλα τρίῤῥυθμα*: Schol. ad ej. Ran. 356: *ἐπὶ τούτου τὸν χρόνον λέγει Ἀρίσταρχος μεμερίσθαι εἰς μερικὰ ἀναπαιστικὰ* [*μέρη ἀμοιβαῖα* Dobree], *ἄλλα δὲ ἀμείβεσθαι τὸν χρόνον* [*χορὸν* Dobr.]· *καὶ τί ἄρα σύνοιδεν* [s. ob. §. 215, ζ.] *ὁ Ἀρίσταρχος; δύναται δὲ καὶ ἐναύξυγον εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορίαν τὸ λοιπὸν, ὥστε εἰς δώδεκα διαμεμερίσθαι*: id. ibid. 374: *ἐνθεῦτεν δὲ Ἀρίσταρχος* [s. ob. §. 29.] *ὑπενόησε μὴ ὅλα τοῦ χοροῦ εἶναι τὰ πρῶτα· τοῦτο δὲ οὐκ ἀξιόπιστον· πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται οἱ παρὰ τὸν χορόν*: id. ib. 443: *εἴσθεσις ἑτέρου μέλους προῳδικὴ* [?] *διαιρεθέντος αὖθις τοῦ χοροῦ, καὶ τοῦ μὲν τὴν προῳδὴν ᾄσαντος, τοῦ δὲ τὴν ἀντιστροφήν·... δύνανται πάντες οἱ κατὰ τὸν χορὸν ἀλλήλοις παρακελεύεσθαι, καὶ μὴ εἰς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος*: vrgl. ob. §. 206. — 𝔠: Arist. Av. 267: s. Süvern l. c. p. 100. — Arist. Equitt. 242. — 𝔡: Schol. ad Arist. Lysist. 321: *νῦν ἐστιν ἡμιχόριον τὸ λέγον ἐκ γυναικῶν εἰσερχομένων ἄνωθεν, ἵνα καὶ τὸ ὕδωρ αὐτῶν καταχέωσιν ἄνωθεν. τὸ δὲ ἄλλο ἡμιχόριον ἐξ ἀνδρῶν κάτωθεν ἐπερχομένων ταῖς ἐν τῇ ἀκροπόλει εἰς πολιορκίαν*: s. ob. §. 206, 𝔄, *η*. —

§. 225, *β*, 𝔞: s. ob. §. 220, 3: Schol. ad Arist. Pac. 114: *σύστημα ἕτερον* [s. ob.

Der Name. — Das Wesen. — Unterschied im Gebrauch der Parachoregemata in Tragödie und Komödie. — Metrische Form. — Verschiedenheit des Vortrags.

Halbchöre. — Monodien. — Einzelne Choreuten.

Arist. Ran. 209: *βρεκεκεκὲξ κοὰξ κοάξ,*
βρεκεκεκὲξ κοὰξ κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν
φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
κοὰξ κοάξ,
ἣν ἀμφὶ Νυσήϊον
Διὸς Διώνυσον ἐν
Λίμναισιν ἰαχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος
τοῖς ἱεροῖσι χύτροισι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ κοὰξ κοάξ·

§. 226. b: Monodien.
Charakter dieser Art Monodien im Allgemeinen.
Metrische Form. — Musikalische Begleitung.

c: Von mehreren Bühnenpersonen vorgetragene Lieder.
Charakter dieser Lieder.
Metrische Form.

§. 227. γ: Die die Epeisodia trennenden Chorlieder.
a: Begriff des Epeisodion. — Das Abtreten der Schauspieler von der Bühne.

---

§. 96, 3, b, p. 98.] *εἰς δύο διῃρημένον περιόδους·...τὰ τοιαῦτα δὲ παραχωρήματα* [Ven. *παραχορηγήματα*] *καλοῦσιν, οἷα νῦν τὰ τοιαῦτα παιδία ποιεῖ καλοῦντα τὸν πατέρα. εἶτα πρὸς οὐδὲν ἔτι τούτοις χρήσεται*: Schol. ad Arist. Ran. 212: *ταῦτα δὲ καλεῖται παρηγορήματα* [sic]. *ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι, οὐδὲ ὁ χορός· ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ χορὸς ἐκ τῶν εὐσεβῶν*: v. G. Dindorf. ad Arist. Ran. p. 6. ed. 1824. Schneider das Attische Theaterwes. p. 136. M. H. E. Meier in Hall. Lit. Ztg. l. c., id. Ind. schol. univ. Halens. hiem. 18[36]/37. O. Müller in Naek. u. Welck. Rhein. Mus. V, p. 342. Fritzsch. ad Arist. Thesmoph. p. 32, ad vs. 101: vrgl. G. Herm. in Zimmerm. Zeitschr. f. Alterth. 1838, p. 686: s. ob. §. 215, ζ. — 5. Cf. Reis. Conject. in Arist. 195. G. Herm. El. D. M. 742. Epit. D. M. 283. — 216. *Διόνυσον* codd. — *Νύσιον, Διόνυσον* Reisig. 218. — *χύτροισιν* G. Hermann.

§. 226, b: Arist. Av. 209 sqq. — c: Arist. Thesm. 40. 101: Schol. Rav. ad Ar. Thesm. 101: *μονῳδεῖ ὁ Ἀγάθων ὡς πρὸς χορὸν, οὐχ ὡς ἐπὶ σκηνῆς, ἀλλ' ὡς ποιήματα συντιθείς. διὸ καὶ χορικὰ λέγει μέλη αὐτὸς πρὸς αὐτὸν, ὡς χορικὰ δέ*: vrgl. G. Herm. in Zimmerm. Ztschr. f. Alt. 1838, p. 674.

§. 227, γ: s. ob. §. 206, 𝔄, β. — S. unt. Γ, α.

b: Allgemeine Bestimmung der hierher gehörigen Lieder.

c: Die Parabasis.

A: Die vollständige Parabasis.

a: Ansichten der Neuern über die Entstehung, den Zweck und die Nothwendigkeit der Parabasis.

b: Inhalt der Parabasis. — Zusammenhang der Parabasis mit der Handlung in der Komödie.

c: Stelle der Parabasis in der Komödie.

d: Der Name Parabasis.

e: Die Stellung des Chors vor der Parabasis. — Die *στοῖχοι*. — Die Halbchöre.

f: Die Evolutionen des Chors, um in die für die Parabasis nothwendige Stellung zu gelangen.

Mannigfaltigkeit. — Einfachheit. — Freiheit der Komiker in Schaffung neuer Formen und in dem Verlassen der frühern.

Die Stellung des Chors in der Parabasis.

A, a: A. W. Schlegel Vorles. üb. dramat. K. u. P. I, 282. G. Herm. El. D. M. 720. Epit. D. M. 262. Thiersch Uebers. d. Pind. Th. I, p. . Genelli Theat. zu Athen 292. Kannegießer Kom. Bühne 357. Rötscher Aristoph. u. s. Zeitalt. 60. G. H. Kolster de parabasi, veteris comoediae atticae parte antiquissima. 8. Alton. 1829: G. Herm. in Jahn Jahrb. f. Phil. u. Paed. XI, 297: Koester de graecae comoediae parabasi. 4. Sund. 1835. Fritzsch. ad Arist. Thesmoph. p. 621. — d: Schol. ad Arist. Pac. 735: *παράβασιν ἐκάλουν ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ· ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στίχοι δ΄. εἶτα διελθόντες τὴν καλουμένην πράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ αὐτοὶ ποιοῦσιν οἱ ποιηταί, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν· Πλάτων ἐν τῷ Παιδαρίῳ· εἰ μὲν μὴ λίαν ◡◡— ἄνδρες ἠναγκαζόμην Στρέψαι δεῦρ᾽, οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ᾽ ἐπῶν· ἄμφω σημάνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. Κρατῖνος δὲ ἐν τῇ Πυλαίᾳ δηλοῖ, ὅτι ἕξ ἐστι ζυγὰ τοῦ χοροῦ*: Schol. ad Arist. Nub. 518: *εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής· παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλῃ πρὸς τὸν δῆμον ἀφορῶν*: v. Koester. l. c. 2 sqq.: Kolster. l. c. 6. — Suid. s. *παράβασις: .. Πλάτων .. ἐν Παιδαρίῳ· .. ἄμφω σημάνας καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν.* — e: Heph. 131: *ἔστι δέ τις ἐν ταῖς κωμῳδίαις καὶ ἡ καλουμένη παράβασις, ἥτις ἐὰν τελεία γράφηται, ἐστὶν αὐτῆς εἴδη ἑπτά· Καλεῖται δὲ παράβασις, ἐπειδὴ εἰσελθόντες εἰς τὸ θέατρον καὶ ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ χορευταὶ παρέβαινον, καὶ εἰς τὸ θέατρον ἀποβλέποντες ἔλεγόν τινα*: Koest. l. c. p. 5. — Schol. ad Ar. Equitt. 512: *ἑστῶσι μὲν γὰρ κατὰ στίχον οἱ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες· ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες καὶ πρὸς τοὺς θεατὰς βλέποντες, τὸν λόγον ποιοῦνται.* — f: Auct. Vit. Arist. p. 545 Mein.: *εἰσῄει .. ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς· ἀνα-*

g: Die Theile der Parabasis.

a: Die τὰ ἁπλᾶ genannten Theile der Parabasis.

α: Das Kommation.

Erklärung der Verschiedenheit in den Ansichten der Alten über das Kommation. — Mannichfaltigkeit der Form.

Wesen des Kommation. — Inhalt. — Die musikalische Begleitung. — Der Gesang. — Stellung der Musiker. — Die Bewegung des Chors. — Metrische Formen.

Arist. Nub. 510: ἀλλ' ἴθι χαίρων, τῆς ἀνδρείας
οὕνεκα ταύτης·
εὐτυχία γένοιτο τἀνθρώπῳ, ὅτι προήκων
ἐς βαθὺ τῆς ἡλικίας, νεωτέροις τὴν φύ-
σιν αὑτοῦ πράγμασιν χρωτίζεται,
καὶ σοφίαν ἐπασκεῖ.

Arist. Av. 676: ὦ φίλη, ὦ ξουθή,
ὦ φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν ὕμνων ξύν-
τροφ' ἀηδοῖ,
ἦλθες, ἦλθες, ὤφθης,

χωρούντων δὲ τῶν ὑποκριτῶν ἑπτάκις ἐστρέφετο ὁ χορὸς, προσέχων ἐφ' ἑκάτερα μέρη τοῦ θεάτρου· ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ὄνομα τῆς ὀρχήσεως παράβασις, ὁμωνύμως τῷ γένει: Tzetz. in Cram. Anecdd. III, 341, 14: ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ Ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις· Ὧν ἐκδραμούντων, ἑπτάκις ἐστραμμένος Χορὸς καθόρα πρός διπλὴν δήμου στάσιν. Τὸ ἑβδασιστρόβητον ὄρχημα τόδε Παράβασιν ἔσχε τῷ γένει τὴν κλῆσιν φέρειν· Ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους: s. O. Müller in N. u. Welck. Rh. M. V, 347. — g: Schol. ad Ar. Nub. 518: εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα· τά μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή, ἀντίστροφος, ἐπίῤῥημα, ἀντεπίῤῥημα. συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα·.. τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδὴν [s. unt. §. 229, α]· ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα. — α: Heph. 132: κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς οὕτως ὠνομάζετο· φησὶ γὰρ Εὔπολις [fr. 306. Runk.]· εἰωθὸς τὸ κομμάτιον τοῦτο: Poll. IV, 112: κομμάτιον καταβολή τίς ἐστι βραχέος μέλους: Schol. id. ad Ar. Vesp. 1044: κομμάτιον.. ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως: id. ad Equitt. 501: εἰσελθόντων γὰρ τῶν ὑποκριτῶν, εἶτα καταληφθεὶς ὁ χορὸς λέγει περίοδον ἀναπαίστους ἤ· τὴν μὲν προπεμπτικὴν τοῦ ἑτέρου τῶν ὑποκριτῶν οὖσαν, δεκάμετρον πεντάκωλον, ὑφ' ὃ διπλῆ κατὰ τὴν δευτερεύουσαν, κομμάτιον· ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεως: Kolst. l. c. 26. — Schol. ad Arist. Av. 682: κρέκουσα] ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη· ἢ ἐξῆλθεν ἔχουσα αὐλόν·.. πολλάκις γὰρ πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις. — Koester. l. c. 8. — 11. γένοιτό τ' ἀνθρώπῳ: v. G. Herm. ad Arist. Nub. l. c. — ὅτιή Reisig. Conjectt. 115. —

ἡδὺν φθόγγον ἐμοὶ φέρουσ᾽. ἀλλ᾽, ὦ καλλιβόαν
κρέκουσ᾽ αὐλὸν φθέγμασιν ἠρινοῖς, ἄρχου τῶν
ἀναπαίστων.

Arist. Equitt. 498: ἀλλ᾽ ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ᾽ ἡμῖν πρόσχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις,
ὦ παντοίας ἤδη μούσης
πειραθέντες καθ᾽ ἑαυτούς.

Arist. Thesm. 785: ἡμεῖς τοίνυν ἡμᾶς αὐτοὺς εὖ λέξωμεν παραβᾶσαι.

§. 228. *β*: Der Anapaistos.

Der Name. — Der Inhalt. — Die Geltung dieses Theils der Parabasis. — Die Metra. — Die Art der Bewegung. — Der Tanz. — Der Vortrag selbst. — Musikalische Begleitung.

γ: Das Makron.

Der Name. — Charakter des Makron im Allgemeinen. —

---

8. s. ob. p. 130, *δ*. — 12. Schol. ad Arist. Ach. 633: ἐξιόντων τῶν ὑποκριτῶν ὁ χορὸς λέγει τὴν τελείαν παράβασιν· τῆς δὲ παραβάσεως τὸ μὲν κομμάτιον ἐστὶ στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν: G. Herm. in Jahn Jahrb. l. c. 301. — §. 228, *β*: Pherecr. ob. p. 122, *γ*. — Arist. Nub. 518: s. ob. §. 187, c, *α*, *β*: 188 *γ*: 119 B: v. Koest. l. c. 9. — Arist. Pac. 729: ἀλλ᾽ ἴθι χαίρων· ἡμεῖς δὲ τέως τάδε τὰ σκεύη παραδόντες Τοῖς ἀκολούθοις δῶμεν σώζειν: Schol.: τὰ σκεύη] τὰς ἅμμας, τὰ σχοινία· γυμνὸν γὰρ ποιοῦσιν οἱ κωμικοὶ τὸν χορὸν, ἵνα ὀρχῆται: Arist. Ach. 627: ἀλλ᾽ ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν: Schol.: ἀποδύντες] ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολὴν, ἵνα εὐτόνως χορεύωσι καὶ εὐστροφώτεροι ὦσι πρὸς τὰ παλαίσματα. — Poll. IV, 112: ἡ δὲ παράβασις, ὡς τὸ πολὺ μὲν ἐν ἀναπαίστῳ μέτρῳ [v. Bentlej. Diss. Phalar. 111 Lennep.]· εἰ δ᾽ οὖν καὶ ἐν ἄλλῳ, ἀνάπαιστα τὸ ἐπίκλην ἔχει. — O. Muell. l. c. 348. — *γ*: Tzetz. l. c. 21: μακρὸν δὲ δὴ πνῖγός τε τὸ τρίτον πάλιν: Poll. l. c.: μακρὸν, ἐπὶ τῇ παραβάσει βραχὺ μελύδριον ἐστίν, ἀπνευστὶ ᾀδόμενον: Heph. 132: καὶ τρίτον, τὸ μακρὸν προςαγορευόμενον, ὃ καὶ φάμεν [ὃ ἂν φαῖμεν Kolst. l. c. 27] εἶναι ἐπιμηκέστερον [G. Herm. b. Jahn l. c. 301: τὸ μακρὸν, τὸ καὶ πνῖγος προςαγορευόμενον, ὃ καὶ φαμὲν εἶναι ἐπιεικέστερον: Koester. l. c. 10: καὶ τρ. τὸ μ. πρ., ὃ μὲν οὐκ εἶναι ἐπιμηκέστερόν φαμεν,]· οὐ μὴν [wirft Koest. aus dem Texte.] ἀλλὰ, καὶ [Interpunction und καὶ wirft Koest. l. c. weg.] διὰ τὸ ἀπνευστὶ λέγεσθαι, ἐδόκει εἶναι μακρότερον: Schol. ad Arist. Ach. 666: διπλῆ καὶ εἴςθεσις εἰς τὸ καλούμενον πνῖγος καὶ τὸ μακρὸν [scribe εἰς τὸ πνῖγος, τὸ καὶ μακρὸν καλούμενον], καὶ αὐτὸ ἀναπαιστικὸν, ὥςπερ καὶ ἡ κατακλεὶς, ἐκ διμέτρου μὲν ἑνὸς τοῦ τελευταίου καταληκτικοῦ κτλ. — Arist. Ach. 659 — 664. Equitt. 547 — 550. Vespp. 1051 — 1059. Pac. 765 — 774. Av. 723 — 736. Thesm. 814 — 829. — Ar. Ran. 372 — 381.

Zweck des Makron. — Die Abhängigkeit des Makron von dem Metrum des Anapaistos. — Vortrag und äufsere Darstellung.

Nachbildung des Makron in andern Gesängen.

§. 229. b: Die τὰ κατὰ σχέσιν genannten Theile der Parabasis oder die Epirrhematische Syzygie.

α: Die Strophe und Antistrophe.

Die Strophe und Ode. — Vortrag durch Halbchöre. — Inhalt. — Trennung von Strophe und Antistrophe.

β: Das Epirrhema.

Inhalt und Charakter der Epirrhemen. — Stellung derselben. — Das Metrum. — Die Gröfse. — Die Gleichheit beider. — Der Vortrag. — Die Ἐκτροπή. — Halbchöre.

h: Die Parabasis nach dem Verhältnisse ihrer einzelnen Theile unter einander betrachtet.

Die Mannichfaltigheit des Stoffes in der Komödie.

---

§. 229, b, α: Schol. ad Arist. Equitt. 555: διπλῆ. εἶτα ἐπάγεται ἐπιῤῥηματικὴ [s. unt. §. 230, β.] συζυγία: id. ad ej. Acharn. 672: διπλῆ καὶ ἐπιῤῥηματικὴ συζυγία, ἧς αἱ μὲν μελικαὶ εἰσι κώλων κτλ. — Schol. ad Arist. Nub. 563: τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν, εἰς ἕτερον ἀφορῶντα μέρος· ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ': ibid. 596: ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ [s. unt. §. 230, β.] ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα: id. ad Ar. Av. 737: ἡ στροφὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστι διαφόρων: id. ad Arist. Pac. 776: ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβ'. τοσούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή· οὐ γὰρ διῄρηνται, ἀλλ' ἐχόμεναι εἰσὶν ἀλλήλων, ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίῤῥημα: ibid. ad vs. 795: ἀντίστροφος δὲ εἴρηται διὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου, μεταξὺ λεγομένων τῶν περιττῶν καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι, οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης· ἔχει δὲ οὕτως· ἀνδρῶν τ' ἐς δαῖτας.. μέλει· εἶτα, τοιάδε χρὴ Χαρίτων· διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων: Schol. ad Arist. Vespp. 1127: ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ: v. Koester. l. c. 11. — G. Herm. ad Arist. Nub. 559. — Tzetz. l. c. p. 341, 22: τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει. Τὸ πέμπτον αὖτε τις ἐπίῤῥημα λέγει· Τὸ δ' ἕκτον ἔσχε κλῆσιν ἀντῳδῆς φέρειν· Ἀντιστροφῆς ἅμα τε σὺν αὐτῇ λέγω. Τὸ δ' ἕβδομόν τις ἀντεπίῤῥημα λέγει. — S. ob. p. 234. — β: Schol. ad Arist. Nub. 576: τοῦτο ἐπίῤῥημα ὀνομάζεται, διὰ τὸ ἐπιῤῥέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. — Koester. l. c. p. 12. — Heph. 132: ἐπίῤῥημα, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑκκαίδεκα ἦν στίχων·.. καὶ τὸ καλούμενον ἀντεπίῤῥημα, ὅπερ ἦν τῶν ἴσων κώλων τῷ ἐπιῤῥήματι. — Schol. ad Arist. Nub. 596: καὶ ἐνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξαρχῆς μέλος, ὅθενπερ ἐξ-

§. 230. *B*: **Die unvollständige Parabasis.**

α: Die Stellen der unvollständigen Parabasen in der Komödie. Die erste Parabasis unvollständig.

β: Angabe der Theile, welche weggelassen werden. Drei Theile. — Sechs Theile.

γ: Verhältniſs der unvollständigen Parabasen zur Komödie im Ganzen. — Vergleich mit dem Stasimon in der Tragödie.

§. 231. *Γ*: **Die andern die Epeisodien von einander trennenden Chorlieder.**

α: Die Bestimmung des Endes und Anfanges der Epeisodien. Der Sinn. — Die Handlung. — Das Ab- und Auftreten der Schauspieler.

β: Die ununterbrochene Folge von Strophe und Antistrophe in den Liedern.

γ: **Die verschiedenen Formen der hierhergehörigen Chorlieder.**

a: Aus dem Epirrhema hervorgehende Formen.

b: Monostrophische Form.

c: Antistrophische Formen.

τράπη εἰς τὸ ἐπίῤῥημα· ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ Ἡλίου [codd. *ὅλου*.], *ἐπήγαγε τὴν ἐκτροπὴν, τουτέστι τὸ ἐπίῤῥημα, ἀπὸ τοῦ, ὦ σοφώτατοι· οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος, οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπαναστρέφων ἐπὶ τὸν ὕμνον τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ· εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθῃ, οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν* [*ἄν ἄλλο τι*], *ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο· τόν θ' ἱππονώμαν, ὅς ὑπερλάμπροις ἀκτῖσι· καὶ ἑξῆς κτλ.* — C. Fr. Hermann. Progymn. in Arist. Equitt. Sched. II, p. 43.

§. 230, *B*, *β*: Schol. ad Ar. Av. 1058: *εἰώθασι μετὰ τὴν τελείαν παράβασιν ἐπιῤῥηματικὴν ποιεῖσθαι συζυγίαν* [s. ob. §. 229, b.], *ὥσπερ καὶ ἐν Ἱππεῦσιν πεποίηκεν·... ἡ παράβασις ἔχει.. τὴν ᾠδὴν καὶ στροφὴν, τὸ ἐπίῤῥημα, τὴν ἀντῳδὴν καὶ τὸ ἀντεπίῤῥημα*: id. ad Ar. Pac. 1126, id. ad ej. Equitt. 1272: *κορωνὶς δέ· ἐξίασι γὰρ οἱ ὑποκριταί· καὶ ἔστι συζυγία ἐπιῤῥηματική*: v. Kolster. l. c. 30. — Ar. Pac. 729. Ran. 675. — Schol. ad Arist. Vesp. 1304: *παραβατικὰ δὲ τὰ μελύδρια.* — Schol. ad Arist. Nub. 1109: *ἐνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίῤῥημα τῆς παραβάσεως.*

§. 231, *Γ*, *α*: s. ob. §. 206, *β*: §. 227, *γ*, a. — *γ*, a: Schol. ad Arist. Ach. 982: *εἶδες*] *ὑφ' ὃ κορωνὶς, ὑποχωρησάντων τῶν ὑποκριτῶν· καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερὴς, φαντασίαν παρέχουσα ἐπιῤῥήματος, ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τοῦ αὐτοῦ στίχου.* — b: Schol. ad Ar. Ach. 843: *ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μένοντος τοῦ χοροῦ, μονοστροφικὸν περίοδον κτλ.*: v. Ar. Ran. 814: s. ob. §. 198, p. 232. — c: Schol. ad Arist. Equitt. 982: *κορωνὶς· εἰσιᾶσι γὰρ ὑποκριταί*: id. ad Arist. Nub. 1293: *κο-*

Arist. Ran. 1099—1108=1109—1118:

μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.
χαλεπὸν οὖν ἔργον διαιρεῖν,
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ καθῆσθον·
εἰςβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον, ἔπιτον, ἀναδέρεσθον,
τά τε παλαιὰ καὶ τὰ καινά,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.

b: Dialogische Formen.

Arist. Equitt. 1111—1130=1131—1150:

Χορ.: ὦ Δῆμε καλήν γ' ἔχεις
ἀρχήν, ὅτε πάντες ἄνθρωποι δεδίασί σ' ὥσπερ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ, θωπευόμενός τε χαίρεις κἀξαπατώμενος, πρὸς τόν τε λέγοντ' ἀεὶ κέχηνας·
ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ.
Δῆμ.: νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν νομίζετ'· ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι βρύλλων τὸ καθ' ἡμέραν,
κλέπτοντά τε βούλομαι τρέφειν ἕνα προστάτην· τοῦτον δ', ὅταν ᾖ πλέως, ἄρας ἐπάταξα.

§. 232 e: Andre eigenthümliche Formen.

Anwesenheit der Bühnenpersonen. — Die *τὰ ἀπὸ σκηνῆς.* — Bemerkungen über den Umfang und die Mannichfaltigkeit in der Composition dieser Lieder.

Aristoph. Thesmoph. 947:

Ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε ταῖσι γυναιξίν, *προῳδ.*
ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν, ἅπερ καὶ
Παύσων σέβεται, καὶ νηστεύει,
πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
ἐς τὰς ὥρας ξυνεπευχόμενος

ρωνὶς καὶ εἴςθεσις μέλους ἐξιόντων ὑποκριτῶν: Schol. ad Arist. Vesp. 1490: *τὰ τοιαῦτα εἴδη καλεῖται* [s. unt. p. 268.] *κατὰ σχέσιν:* Ar. Av. 1470. — b: Ar. Ran. 534 sqq.

§. 232, e: Arist. Ran. 1482. Thesm. 1136. — Arist. Nub. 1204: s. unt. §. 240. — 31. Cf. Annott. ad Aristoph. T. VI, p. 462 sqq. ed. Invern., Fritzsch. ad Arist.

τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει
κοῦφα ποσὶν, ἄγ' ἐς κύκλον,
χειρὶ σύναπτε χεῖρα,
ῥυθμὸν χορείας ὕπαγε πᾶσα· βαῖνε
καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ
πανταχῇ κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
ἅμα δὲ καὶ — στρ. α'.
γένος Ὀλυμπίων θεῶν
μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
εἰ δέ τις — στρ. α'.
προσδοκᾷ κακῶς ἐρεῖν
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας, οὐκ ὀρθῶς φρονεῖ.
ἀλλὰ χρὴ — στρ. α'.
ὥσπερ ἔργον αὖ τι καινὸν
πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.
πρόβαινε ποσὶ τὸν εὐλύραν — στρ. β'.
μέλπουσα καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ', ὦ Ἑκάεργε, — στρ. γ'.
ὄπαζε δὲ νίκην.
Ἥραν δὲ τὴν τελείαν
μέλψωμεν ὥσπερ εἰκὸς,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ — στρ. δ'.
κλῇδας γάμου φυλάττει.

Thesm. p. 383 sqq.: die hier befolgte Anordnung aus G. Dind. P. Scen. Grr. stammt von G. Hermann, dessen neueste Ansichten Fritzsche mittheilt: darnach weicht er von seiner frühern Ansicht darin ab, dafs er 1) vss. 969—976 als στρ. β', vss. 977—984 als ἀντιστρ. β' ansieht; 2) vss. 985—989 für einen προῳδός hält; 3) vss. 990—994, 995—1000 für στρ. und ἀντιστρ. γ'. — Fritzsch. theilt so ab: 953—956 προῳδός: mit πᾶσα schliefst der Vers: 957—958, βαῖνε .. κατάστασιν στρ. α'; 959—961 στρ. β': 962—965 ἀντιστρ. β': 966—968 ἀντιστρ. α': 969—976 στρ. γ': 977—984 ἀντιστρ. γ': 985—987 στρ. δ': 988. 989 ἀντιστρ. δ': 990—994 στρ. ε': 995—1000 ἀντιστρ. ε': die abweichenden Lesarten s. unt. — vs. 947. ταῖσι] ταῖς Rav. Aug. — vs. 951. ξυνευχόμενος Iunt. — 1. μέλλειν Rav. Aug. — 4. ξύναπτε Fritzsch. — 5 sq. πᾶσα· | βαῖνε ποδοῖν | καρπαλίμοιν, ἐπισκοπεῖν δὲ | πανταχῇ κτλ. Fritzsch.: s. G. Herm. in Zimm. Ztschr. f. Alt. 1838, p. 688. — 9. Vrgl. Soph. Oed. Tyr. 151 sqq. — 11. χαρομανεῖ Rav. — 15 sq. ἀλλά σε χρῆν | ὥσπερ ἐπ' ἔργον αὖ τι καινὸν | πρῶτον κτλ. Fritzsch.: G. Herm. Ztschr. l. c. p. 689: ἀλλὰ χρῆν | οἵςπερ ἔργον αὐτίκα | πρῶτον κτλ.: Reisk.: ὥσπερ ἔργων αὐτίκα καινῶν. — 17. εὐφυῆ Rav. — 18. ἐλύραν Rav. Aug. — 21. 22. verbindet Fritzsche in einen Vers und schreibt Ἑκάεργ'. —

Ἑρμῆν τε Νόμιον ἄντομαι — ἀντιστρ. β΄.
καὶ Πᾶνα καὶ Νύμφας φίλας
ἐπιγελάσαι προθύμως
980. ταῖς ἡμετέραισι — στρ. γ΄.
χαρέντα χορείαις.
ἔξαιρε δὴ προθύμως
982. διπλῆν χάριν χορείας.
παίσωμεν, ὦ γυναῖκες, οἷάπερ νόμος. — στρ. δ΄.
νηστεύομεν δὲ πάντως.
985. ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρυθμῷ ποδί, — στρ. δ΄.
τόρευε πᾶσαν ᾠδήν.
ἡγοῦ δέ γ' ὧδ' αὐτὸς — στρ. γ΄.
σὺ κισσοφόρε Βάκχειε
δέσποτ'· ἐγὼ δὲ κώμοις
σὲ φιλοχόροισι μέλψω
990. Εὔιον, ὦ Διόνυσε, — στρ. ε΄.
Βρόμιε καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος
* * κατ' ὄρεα Νυμφᾶν ἐρατοῖς ἐν ὕμνοις
Εὔιον, Εὔιον, εὐοῖ
* * ἀναχορεύων.
995. ἀμφὶ δὲ σοὶ κτυπεῖται — ἀντιστρ. ε΄.
Κιθαιρώνιος ἠχώ,
μελάμφυλλά τ' ὄρη
δάσκια καὶ νάπαι πετρώδεις * * βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς
1000. εὐπέταλος ἕλικι θάλλει.

f: Verhältnifs derartiger Gesänge zum Stasimon der Tragoedie.

§. 233. δ: Die den Epeisodien angehörenden Chorlieder.

a: Die Kriterien für die den Epeisodien angehörigen Chorlieder im Allgemeinen. — Mangel an überall festgehaltenen Principien. — Vergleich mit der Tragödie.

---

4. 5. verbindet Fr. in einen Vers und schreibt ἡμετέραις. — 7. χάριν] χαίρειν Aug., Rav. — 9. νηστεύωμεν Rav. Aug. — 10. ἀλλ' εἰαπαλλ Rav. — 12. γ' αὐτὸς ὧδε Fritzsch., G. Herm. Ztschr. l. c. — 13. 14. σύ, κ. Β. δ. [Εὖιε,] | [Ευοῖ,] ἐγὼ δὲ κ. Fritzsch.: κισσοφόρε δεσπότ'· εὐοῖ | Βάκχει'· ἐγὼ δὲ κ. G. Herm. Ztsch. l. c. — 15. φιλοχόροισιν Rav. — 16. Ε., ὦ Διός τε Fritzsch.: G. Herm. l. c.: ὦ Βρόμι', εὐΐ', εὐοῖ | Διὸς κ. Σ. παῖ. — 18. 19. χοροῖς **** | τερπόμενος κατ' ὄρεα Ν. . . ὕμνοις Fritzsch. — 20. ὦ Εὔι' Εὔι' εὐοῖ Fritzsch. — 21. ὦ Εὔι', ἀναχορεύων Fritzsch. — 22. 'δὲ σοὶ Rav. — 24. μελάνφυλλα Rav. — 27. εὐπέταλλος Aug. — f: S. ob. §. 230, γ.

§. 233, δ, a: s. ob. §. 231: vrgl. Soph. Elect. 472—515: s. das. v. 477. 516: ibid.

Die Anwesenheit der Bühnenpersonen. — Die Bühnenpersonen während des Chorgesangs. — Die Richtung und Stellung des Chors in der Orchestra und die hieraus entstehenden Bewegungen desselben.

Die durch den Inhalt diesen Chorliedern angewiesene Stelle. Die Ansichten der Alten.

𝔟: Der Vortrag der den Epeisodien angehörenden Chorlieder. Die Ein- und Abtheilungen des Chors. — Die Halbchöre und die einzelnen Choreuten.

Aristoph. Thesmoph. 655:

Ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἁψαμένας χρὴ

---

823 sqq. — — Schol. ad Arist. Vesp. 270: *στάντες*] πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ χοροῦ τὸ *στάσιμον* [cf. sup. §. 230, γ.] ᾄδουσι μέλος· τῶν γὰρ *χορικῶν μελῶν* τὰ μέν ἐστι *παρῳδικὰ* [scr. παροδικά: G. Dind.; s. ob. §. 224.], ὡς τό, *Ἀέναοι νεφέλαι, ἀρθῶμεν φανεραί* [Arist. Nub. 275.], καὶ τὸ προειρημένον ἐνταῦθα, *χώρει, πρόβαιν' ἐῤῥωμένως* [Vesp. 230.]. τὰ δὲ στάσιμα, ὡς τὸ παρόν· καὶ παρ' Αἰσχύλῳ, *Στένω, σὲ τᾶς οὐλομένας τύχας Προμηθεῦ* [Prom. V. 399.]. τὰ δὲ προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ ἐπῳδικά, περὶ ὧν προείρηται τίνος χάριν οὕτω καλοῦνται, τὰ δὲ ἐξῳδικὰ ἢ ὑποχωρητικὰ [cf. inf. §. 246.], ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται, ὡς ἐν τῷ *Πλούτῳ* δράματι τό, *Οὐκέτι νῦν γ' εἰκὸς* κτλ.: s. ob. §. 69. und die Addenda dazu. — 𝔟: Cramer. Anecdd. Grr. e codd. manuscr. Bibl. Regiae Parisiensis T. I, p. 9: τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς [sc. τῆς σκηνῆς] καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς· σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα. *Ταῦτα* δὲ τοῖς μὲν τραγικοῖς [s. ob. §. 207, 𝔅, a.] καὶ σατυρικοῖς [s. unt. §. 251.] ἀνὰ δεκαὲξ ἦσαν· ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα [s. ob. §. 224, b.]· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων, τὰ οἰκεῖα τῷ καθ' ἓν αὐτῶν καὶ οἰκείῳ ἠθροισμένα δρῶντα, ἡ [sic] χορὸς ἐκαλεῖτο. *Διαιρεθεὶς* δὲ ὁ χορὸς εἰς τμήματα δύο, *ἡμιχόρια* [über die Form ἡμίχορος s. Lobeck. ad Soph. Aiac. p. 380. not.: s. ob. §. 210, 𝔅, α.] ὠνομάζετο, παραχρηστικῶς [sic] δὲ καὶ χορός [s. ob. §. 210, unt. §. 234, b, α.]· εἰ δὲ *καθ' ἕνα* ἐτέμνετο, *ὑποκριταὶ* ἐκαλοῦντο κοινῷ ὀνόματι, διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιειλῆφθαι, ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. *Διαιροῦνται* γὰρ τὰ *μερικὰ* ταῦτα εἰς πολλά, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεούς, καὶ εἰς ἄλλα μύρια [s. unt. §. 248.]. *Τούτων* οὖν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν *ὀρχήστραν*, ἣν ἔφασαν καὶ *λογεῖον*, (ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις [s. ob. §. 224, c.] εἴσοδος, καὶ ἐπήλυσις καὶ ἐπίβασις καὶ πάροδος καὶ παράβασις), εἰσελθὸν οὖν καὶ παραβὰν εἰς *τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον*, τὸ *πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο, ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν· καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσι*· εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. *Ταῦτα* μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, *παράβασις, στροφή, ἀντίστροφος καὶ ἔξοδος*. — 10. Vrgl. Soph. Aiac. 866 sqq., wo Schol.: οἱ ἀπὸ τοῦ χοροῦ προΐασιν, ὥσπερ ἐκ διαφόρων τόπων κατ' ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν *Αἴαντα*,

ξυζωσαμένας εὖ κἀνδρείως, τῶν δ' ἱματίων ἀποδύσας
ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἐσελήλυθε, καὶ περιθρέξαι
τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους διαθρῆσαι.
εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα,
καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μόνον δὲ χρὴ
μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
ἀλλὰ τὴν πρώτην τρέχειν χρὴ ὡς τάχιστ' ἤδη κύκλῳ.
εἶά νυν ἴχνευε, καὶ μάτευε ταχὺ πάντ'
εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
πανταχῇ διάρριψον ὄμμα,
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
ἢν γὰρ μὴ λάθῃ δράσας ἀνόσια,
δώσει τε δίκην, καὶ πρὸς τούτῳ
τοῖς ἄλλοις ἅπασιν ἔσται
παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας,
δικαίως τ' ἐφέποντας
ὅσια καὶ νόμιμα μηδομένους ποιεῖν
ὅτι καλῶς ἔχει,
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·
αὐτῶν ὅταν ληφθῇ τις ὅσια δρῶν,

καὶ ἡ Τίκμησσα ἐξ ἄλλων, ἥτις καὶ πρώτη ἐπιτυγχάνει τῷ πτώματι: vrgl. G. Herm. ad h. l. — 1. συζωσαμένας Fritzsch.: s. ob. §. 61. — 2. εἰσελήλυθεν codd., ἀνελήλυθε Fr. — 3. ἀθρῆσαι codd. — 4. εἶτα δὴ Rav. — 5. μόνον δὲ χρὴ πανταχῇ codd. — 7. χρὴ σ' ὡς Fritzsch. — 8. Die vss. 659—666 sind nach G. Hermann in Zimm. Zeitschr. f. Alterth. 1838, p. 685. die antistr. zu sup. 459—465, welche s. unt. §. 236, a. — G. Herm. l. c.: εἶα νῦν ἴχνευε καὶ μά-| τευε ταχὺ πάντ', εἴ τις ἐν τό-| ποις ἑδραῖος | ἄλλος αὖ λέληθεν ὤν: *„hier fehlen dann zwei Dimeter oder zwei Dimeter und ein Monometer: dann folgen:* πανταχῇ δὲ ῥίψον ὄμμα | καὶ τὰ τῇδε καὶ τὰ δεῦρο | πάντ' ἀνασκόπει καλῶς. *Danach sind auch die strophischen Verse abzutheilen."* — 10. διαῤῥίψαν [sic] Rav.: διάῤῥιψον Fritzsch. — 12. μὴ] Fritzsch. G. Herm. l. c. με. — 14. ἔσται ἅπασιν Fritzsch. G. Herm. — 16. G. Herm. ordnet: παράδ. ὕβρ. | ἀδίκων .. τρόπων,|: Fr. wie oben, nur dafs er nach τρόπων einschiebt παράδειγμα. — 19. Nach δαίμονας nimmt G. Herm. l. c. eine Lücke an: Fritzsch. schiebt nach ἀνθρώποις ein: δικαίως εὖ. — 20. 21. Fritzsch. schreibt: ὥστ' ἐφέπειν ὄντως ὅσια καὶ νόμιμα,| μηδομένους ποιεῖν, ὅ τι καλῶς ἔχει: dagegen G. Herm.: ὅσια καὶ ν. μηδ. δικαί-| ως τ' ἐφέποντας ὅ τι ποτὲ καλῶς ἔχει. — 23 sqq. Fritzsch.: τις ἀνόσιόν τι δρῶν| ἐν μ. φλ., λ. παράκοπός τ' | εἴ τις ἐρωμανής, | πᾶσιν ἐμφ. ὁρ. ἔσται γ. κ. βρ. | ὅτι τά τε π. | τά τ' ἀν. θ. | τις ἔτ' ἀποτίνεται: G. Herm. l. c.: τις ἀνό|σιόν τι δρ. μ. φλ. | λ. π., [οὐκ ἄπει|σιν ἀβλαβής, ἀλλ'] εἴ τι δρῴ-|ῃ, πᾶσιν ἐ. ὁρ. | ἔσται

μανίαις φλέγων,
λύσσῃ παράκοπος,
εἴ τι δρῴη, πᾶσιν ἐμφανὴς ὁρᾶν
ἔστιν γυναιξὶ καὶ βροτοῖς
ὅτι τὰ παράνομα τά τ' ἀνόσια θεὸς
ἀποτίνεται,
παραχρῆμά τε τίνεται.
ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδὲν ἐγκαθήμενον.
Arist. Ach. 557: Ἡμιχόριον:
ἄληθες, ὠπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν,
καὶ συκοφάντης εἴ τις ἦν, ὠνείδισας;
Ἡμιχ.: νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ' ἅπερ λέγει
δίκαια πάντα κοὐδὲν αὐτῶν ψεύδεται.
Ἡμιχ.: εἶτ' εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;
ἀλλ' οὐδὲ χαίρων ταῦτα τολμήσει λέγειν.
Ἡμιχ.: οὗτος σὺ ποῖ θεῖς, οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
Ἡμιχ.: ἰὼ Λάμαχ', ὦ βλέπων ἀστραπάς,
βοήθησον, ὦ γοργολόφα, φανείς,
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα·
εἴτε τις ἔστι ταξίαρχος τις ἢ
τειχομάχας ἀνήρ, βοηθησάτω
τις ἀνύσας· ἐγὼ γὰρ ἔχομαι μέσος.

c: Blick auf die durch die den Epeisodien angehörenden Chorlieder entstehende Mannichfaltigkeit der Komoedie.

§. 234. b: Die Komposition der zu den Epeisodien gehörenden Chorlieder.

α: Die antistrophische Form.

γ. κ. βρ., | *ὅτι τά τε π. τά τ' ἀνόσια πάραν-|τα τίνεται θεός*: Fr. und G. Herm. nehmen an, daſs die Verse von 667 sqq. die Strophe zu vss. 707—725 wären, welche s. unt. §. 244, c. — 10. Schol. ad Ar. Ach. 562 [556.]: *ἄληθες] ἐνταῦθα διαιρεῖται ὁ χορὸς εἰς δύο μέρη· καὶ τὸ μὲν ὀργίζεται, ἐφ' οἷς λέγει ὁ Δικαιόπολις, τὸ δὲ καὶ ἀποδέχεται*: s. ob. §. 210, B, α: §. 234, b: vrgl. Aesch. Ag. 1344—1371: O. Muell. Aesch. Eum. p. 76. Nachtr. p. 44. G. Herm. Opusc. VI, 2, p. 136, T. II, p. 129 sqq. — S. unt. §. 248, c. — c: Schol. ad Arist. Ran. 700: *τινὲς δὲ τοῦτον [Φρύνιχον] κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας*: s. ob. §. 222, 1, b, p. 256: unt. §. 244, c. —

§. 234, b, α: Fritzsch. ad Arist. Thesm. p. 244. — G. Herm. ad Arist. Nub. 696: *stropham haec esse, cujus antistropha sequitur vs.* 804 *monui, quum primum Nubes edidi. Debebat ea autem hemichorio* [s. ob. §. 233, b.] *tribui, vel numeris arguentibus, non Socrati, cujus persona in libris adscripta est:*

Freiheiten in der Stellung der Strophen. — Die Trennung von Strophe und Antistrophe. — Der Chorführer und die Responsion seiner Partie in Strophe und Antistrophe. — Die Halbchöre.

Aristoph. Equitt. 616—623=683—690:

νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργασάμεν', εἶτ' ἐπέλθοις ἅπαντά μοι σαφῶς.
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν ὥστ' ἀκοῦσαι· πρὸς τάδ', ὦ
βέλτιστε, θαῤῥήσας λέγ', ὡς ἅπαντες ἡδόμεσθά σοι:

Aristoph. Nub. 804—812=700—706:

ἆρ' αἰσθάνει πλεῖστα δι' ἡμᾶς ἀγάθ' αὐτίχ' ἕξων
μόνας θεῶν; ὡς
ἕτοιμος ὅδ' ἐστὶν ἅπαντα δρᾶν,
ὅσ' ἂν κελεύῃς.
σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπῃρμένου
γνοὺς ἀπολάψεις, ὅ τι πλεῖστον δύνασαι,
ταχέως· φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρᾳ τρέπεσθαι:

Aristoph. Nub. 949—958=1024—1033:

νῦν δείξετον τὼ πισύνω τοῖς περιδεξίοισι
λόγοισι καὶ φροντίσι καὶ γνωμοτύποις μερίμναις
ὁπότερος αὐτοῖν λέγων ἀμείνων φανήσεται.
νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος ἀνεῖται σοφίας,
ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐστὶν ἀγὼν μέγιστος:

Aristoph. Equitt. 756—760=836—840:

νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ· ποικίλος γὰρ ἀνὴρ

---

add. Cramer. Anecdd. Paris. T. I, p. 405: *χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ᾀδόμενον, ὅταν ἔχῃ μέγεθος ἱκανόν.* — 6. *ὀλολύξαι* Rav.: s. ob. §. 79, D, p. 53. — 8. S. ob. §. 136, A, 2, b, α, p. 148. — G. Dind.: *ἐπέλ-|θοις.* — 10. G. Dind. schliefst die Verse mit: *διελθεῖν, βέλ-|τιστε, ἅ-παντες*: s. ob. §. 77, 2, b, p. 44. — 13. G. Herm. theilt *ἡ-|μᾶς.* — 17. *καὶ φ. ἐπῃρμ.* hat G. Herm. als Vers für sich. — 18. *ἀπολάψεις*] *ἀπολαύσεις* Barocc. G. Herm. — 19. *τοι-|αῦθ'* G. Herm. — 21. G. Herm. ad vs. 950: *Praefigebatur χορός. At hujuscemodi cantiones ab hemichoriis et ne ab his quidem sic ut cantores hemichorii omnes concinerent, cantatos esse et res ipsa et metra produnt.* — 22. G. Herm. schliefst mit *πισύνω, περιδεξίοισι, φρ. καί, μερίμναις, λέγων, φανήσεται, κίν-|δυνος, σοφίας, φίλοις* die Verse. — *περιδεξίοισιν* G. Herm., sagend: *idque elegantius est, quam quod Brunckius edidit, περιδεξίοισι, ν paragogico omisso:* s. ob. §. 73. — 23. *γνωμοτύποισι* Rav. Ven. — 24. *ἅμείνων* G. Herm. —

κὰκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.
πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
761. ἀλλὰ φυλάττου καὶ πρὶν ἐκεῖνον προςικέσθαι σου, πρότερον σὺ
τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου:
ἀντιστρ.: ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων.
841. καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν.
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.

§. 235. *β*: Das Metrum im Allgemeinen.

Einfache und künstliche Lieder des Chors innerhalb des Epeisodion. — Freiheit — oft scheinbare — in der Responsion der Strophen. — Chor, einzelner Choreut und Schauspieler.

Aristoph. Ran. 895—904=992—1003:

καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι τίνα λόγων
ἔπιτε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
προςδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν
καὶ κατεῤῥινημένον
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν
ἐμπεσόντα συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν:

Aristoph. Av. 851—858=895—902:

ὁμοῤῥοθῶ, συνθέλω,
συμπαραινέσας ἔχω
προςόδια μεγάλα
σεμνὰ προςιέναι θεοῖσιν·
ἅμα δὲ προςέτι χάριτος ἕνεκα

6. Schol. ad Arist. Equitt. 846: τινὲς δὲ τὰ ἑπτὰ πρῶτα κῶλα ὡς ἀντιστροφὴν εἰλήφασιν: s. unt. §. 245: ob. §. 221, A, b, p. 256. — Arist. Av. 1188 s. ob. p. 167.

§. 235, *β*: 19. τίνα λόγων ἐμμέλειαν ἐπί τε δ. ὁδόν Rav. Ven.; antistr. 992: τάδε μὲν λεύσσεις φαίδιμ' Ἀχιλλεῦ· | σὺ δὲ τί, φέρε, πρὸς ταῦτα λέξεις; μόνον ὅπως | μή σ' ὁ θυμὸς ἁρπάσας | ἐκτὸς οἴσει τῶν ἐλαῶν. — 29. Vrgl. Meinek. frr. Comm. Grr. T. II, p. 419, fr. inc.: ib. p. 447, fr. 1. — 30. Die antistr. trägt Ἱερεύς vor. —

προβάτιόν τι θύειν.
ἴτω ἴτω, ἴτω δὲ Πυθιὰς βοά.
συνᾳδέτω δὲ Χαῖρις ᾠδάν.

§. 236. γ: Die strophische Form.

a: Die zum Epeisodion gehörenden Chorlieder ohne alle Responsion. Charakteristische Merkmale dieser Chorlieder. — Der Inhalt. — Das Metrum. — Der Vortrag.

Aristoph. Pac. 512: *ἄγε νυν, ἄγε πᾶς·*
καὶ μὴν ὁμοῦ 'στιν ἤδη.
μή νυν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν ἀνδρικώτερον.
ἤδη 'στὶ τοῦτ' ἐκεῖνο.
ὢ εἶα νῦν, ὢ εἶα πᾶς.
ὢ εἶα, εἶα, εἶα, εἶα, εἶα, εἶα.
ὢ εἶα, εἶα, εἶα, εἶα, εἶα πᾶς:

Aristoph. Ran. 875: *ὦ Διὸς ἐννέα παρθένοι ἁγναὶ*
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι
ῥήματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας ὁ μέγας χωρεῖ πρὸς ἔργον ἤδη. —

Arist. Thesmoph. 459: *ἕτερον αὖ τι λῆμα τοῦτο*
κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνεν.
οἷα κἀστωμύλατο
οὐκ ἄκαιρα, φρένας ἔχουσα,
καὶ πολύπλοκον νόημ', οὐδ' ἀσύνετ', ἀλλὰ
πιθανὰ πάντα. δεῖ δὲ ταύτης,
τῆς ὕβρεος ἡμῖν τὸν ἄνδρα περιφανῶς δοῦναι δίκην.

§. 237. b: Dieselbe Strophe dreimal in Zwischenräumen wiederholt. — Nachweifs derselben Compositionsweise in zusammenhängenden Chorliedern. — Analogien.

---

14. So Rav. Ven.: codd. reliq.: *ὢ εἶα, ὢ εἶα, εἶα, εἶα, | ὢ εἶα, ὢ εἶα πᾶς.* — 24. Diese Strophe hält G. Herm. in Zimm. Ztsch. f. Alterth. 1838, p. 685 für die Strophe, wozu vss. 663—666 die Antistrophe seyen. — 26. Codd. *οἷα κατεστωμύλατο.* — 27. *οὐκ ἄκερα* Rav. — 28. *καί* [*τι*] Fritzsch. — G. Herm. sagt, wenn *πολύπλοκον* richtig, müsse geschrieben werden: *οὐκ ἄκαιρα, πολύπλοκον νό-|ημ' ἔχουσ', οὐδ' ἀσύνετ', ἀλλά*: wenn hingegen *φρένας ἔχουσα καί*, so habe Arist. vermuthlich geschrieben: *οὐκ ἄκ., φρένας ἔχ. | καὶ πολύστροφον νόημ', οὐδ' | ἀσύνετ', ἀλλά.* — Arist. Ran. 1251. Av. 626. Thesmoph. 699 sqq.

§. 237, b: Aristoph. Pac. 345—360=385—395=582—600: s. ob. §. 233, b. —

Einflufs der zu den Epeisodien gehörenden Chorlieder auf die Composition des Dialogs der Bühnenpersonen.

§. 238. 3. Die von den Bühnenpersonen vorgetragenen Gesänge.

𝔄: Vorerinnerungen.

α: Die Theorie der Alten und deren Ueberlieferung.

β: Die Nothwendigkeit der *τὰ ἀπὸ σκηνῆς* für die alte Komödie.

Nothwendigkeit des Gesangs für den poetischen Ausdruck einzelner Stimmungen der Seele nach der Ansicht der Alten.

Das Pathos der Komödie. — Das Lächerliche. — Das Utriren. — Die Ironie. — Die Parodie.

Die Mannichfaltigkeit der *τὰ ἀπὸ σκηνῆς* in der alten Komödie.

Der Vortrag. — Der Dialekt.

Der Charakter der *τὰ ἀπὸ σκηνῆς* in der alten Komödie.

Das Leben und seine Darstellung in der alten Komödie.

Arist. Ran. 1370—1377=1482—1490=1491—1499. — S. ob. §. 204, 4. — Arist. Pac. 337, s. ob. p. 44: Arist. Av. 523 sqq. —

§. 238, 𝔄, α: s. ob. §. 221, A, b, §. 233, δ, a, unt. §. 247, 5, a: Anon. ap. Cramer. Anecdd. Grr. e codd. Pariss. T. I, p. 8, v. 9: *ἔτι ἰστέον, ὅτι κατὰ Διονύσιον καὶ Κράτητα καὶ Εὐκλείδην* [v. Cramer. l. c. p. 18, sup. §. 205, 1, A.], *μέρη κωμῳδίας εἰσὶ τέσσαρα· πρόλογος, μέλος χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος* [v. §. 221, A, b.]. *Καὶ πρόλογος* [s. ob. §. 206, 𝔄, α: add. Vit. Aristoph. ap. Mein. Comm. Grr. frr. I, 546.] *μέν ἐστι τὸ μεχρὶ τοῦ χοροῦ λεγομένη ῥῆσις. μέλος καλεῖται χοροῦ* [deest aliquid: Cram.]. *ἐπεισόδιον δέ ἐστι μέλος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορῶν. ἔξοδος* [s. unt. §. 248 flgg.] *δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις*: Aristot. Poet. c. 5: *ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν· καὶ γὰρ χορὸν κωμῳδῶν ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν, ἀλλ' ἐθελονταὶ ἦσαν· ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης οἱ λεγόμενοι αὐτῆς ποιηταὶ μνημονεύονται. τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται*: s. ob. §. 233, δ, b. — Aristot. Poet. c. 5: *ἡ δὲ κωμῳδία ἐστίν, ὥσπερ εἴπομεν, μίμησις φαυλοτέρων μέν, οὐ μέντοι κατὰ πᾶσαν κακίαν, ἀλλὰ τοῦ αἰσχροῦ ἐστι τὸ γελοῖον μόριον. τὸ γὰρ γελοῖόν ἐστιν ἁμάρτημά τι καὶ αἶσχος ἀνώδυνον καὶ οὐ φθαρτικόν, οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης*: Anon. ap. Cram. l. c. p. 4 v. 21: *ἔστι δὲ τὴν κωμῳδίαν καὶ τραγῳδίαν* [v. Meinek. Comm. Grr. frr. T. I, p. 539, 8. p. 535, 7.] *εἰπεῖν, οἱονεὶ τραγῳδίαν* [sic] *τινὰ οὖσαν, ὅτι τρύγα χριόμενοι ἐκωμῴδουν. Ἔστι δὲ καὶ ἡ κωμῳδία μίμησις πράξεως καθαρωτέρας, παθημάτων συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. Διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γενομένων σχηματίζῃ αὐτάς· ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων. Καὶ ὅτι τῇ μὲν τραγῳδίᾳ σκόπος τὸ εἰς θρῆνον κινῆσαι τοὺς ἀκροατάς, τῆς δὲ κωμῳδίας εἰς γέλωτα.* — Anon. ap. Cram. l. c. p. 404, v. 23: *διαφέρει ἡ κωμῳδία τῆς λοιδορίας· ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν· ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως*: Aristot. Poet. 4. Platon. al. ap. Meinek. Comicc. Grr. frr. T. I, p. 531 sqq.: s. ob. §. 222, 1., §. 18. — Anonym. ap. Mein. Comm. Grr. frr. I, p. 539: *ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικόν, σπανίως δὲ μέτρον ἕτερον, ἐν δὲ τῇ παλαιᾷ πολυμετρίᾳ τὸ σπουδαζό-*

γ: Die Bedingungen für das Eintreten der *τὰ ἀπὸ σκηνῆς* in der alten Komödie.

Das Fehlen der *τὰ ἀπὸ σκηνῆς* in Komödien der alten Zeit.

§. 239. 𝔅: **Die von einer Bühnenperson vorgetragenen Gesänge.**

α: Die Ansichten der alten Komiker von den Monodien überhaupt.

β: Die metrische und musikalische Form der Monodien.

Das Metrum. — Das Verhältnifs des singenden Schauspielers zu den andern Schauspielern und dem Chore. — Die Action.

Aristoph. Acharn. 263:

Φαλῆς, ἑταῖρε Βακχίου, ξύγκωμε, νυκτοπεριπλάνητε, μοιχὲ, παιδεραστὰ,
ἕκτῳ σ' ἔτει προςεῖπον ἐς τὸν δῆμον ἐλθὼν ἄσμενος, σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς Φαλῆς,
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
μέσην λαβόντ', ἄραντα, καταβαλόντα καταγιγαρτίσαι,
Φαλῆς Φαλῆς.

Aristoph. Ach. 1190: *ἀτταταῖ, ἀτταταῖ,*
στυγερὰ τάδε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αἰακτὸν ἂν γένοιτό μοι,
Δικαιόπολις ἄν μ' ἴδοι τετρωμένον,
κᾆτ' ἐγχανεῖται ταῖς ἐμαῖς τύχαισιν.

§. 240. Aristoph. Thesm. 912:
ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
λαβέ με, λαβέ με, πόσι·
περίβαλλε δὲ χέρας.
φέρε, σὲ κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγ' ἄπαγέ με

μενον. — Anon. ap. Mein. l. c. p. 540, 11: *ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας* [s. unt. §. 249.] *τεχνικώτερον τῆς μεθ' ἑαυτοῦ τὴν κωμῳδίαν, ἐνέλαμψεν ἐν ἅπασιν, ἐπίσημος ὀφθεὶς οὕτω, καὶ οὕτω πᾶσαν κωμῳδίαν ἐμελέτησε.* — Fritzsch. ad Arist. Thesmoph. p. 289. — *γ*: s. ob. §. 213 flgg.

§. 239, 𝔅, *α*: s. ob. §. 214, 𝔅, *α*: unt. §. 240. — *β*: Schol. ad Arist. Ach. 261: *ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν*] *ᾄσματα λέγονται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη.* — 21. Schol. ad Arist. Ach. 1205: *θρηνῶν παρατραγῳδεῖ.* — 25. *αἰακτὸν οἰμωκτὸν ἂν γένοιτό μοι* ACR. — 29. *ἐς χέρας*] Rav.: *ἐς χάρας* Aug. — Schol. Rav. ad Ar. Thesm. 913: *καὶ ταῦτα ἐκ τῆς Ἑλένης, καὶ καθόλου τὰ πλεῖστα*: v. Fritzsch. — 31. *περίβαλε* Bisetus. —

λαβὼν τάχυ πάνυ. Γυνή: κλαύσετ᾽ ἄρα νὴ τὼ θεὼ
ὅστις σ᾽ ἀπάξει, τυπτόμενος τῇ λαμπάδι.
Arist. Nub. 1154: *βοάσομαι τἄρα τὰν ὑπέρτονον*
βοάν· ἰὼ, κλάετ᾽ ὠβολοστάται,
αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων.
οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ᾽ ἔτι·
οἷος ἐμοὶ τρέφεται
τοῖσδ᾽ ἐνὶ δώμασι παῖς,
ἀμφήκει γλώττῃ λάμπων,
πρόβολος ἐμὸς, σώτηρ δόμοις, ἐχθροῖς βλάβη,
λυσανίας πατρῴων μεγάλων κακῶν·
ὃν κάλεσον τρέχων ἔνδοθεν ὡς ἐμέ.
ὦ τέκνον, ὦ παῖ, ἔξελθ᾽ οἴκων,
ἄϊε σοῦ πατρός:
Aristoph. Nub. 1204: *ὥστ᾽ εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ*
ἐπ᾽ εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.
μάκαρ ὦ Στρεψίαδες,
αὐτός τ᾽ ἔφυς ὡς σοφὸς,
χοῖον τὸν υἱὸν τρέφεις,
φήσουσι δή μ᾽ οἱ φίλοι
χοἱ δημόται
ζηλοῦντες ἡνίκ᾽ ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
ἀλλ᾽ εἰςάγων σε βούλομαι πρῶτον ἑστιᾶσαι.
Arist. Ran. 1329: . . . . *βούλομαι δ᾽ ἔτι*

---

3. Schol. ad Ar. Nub. 1148: *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου* [fr. I. Dind.]· *ἐπιφέρει γὰρ, Ἰὼ πύλαισιν ἤτις ἐν δόμοις· καὶ Φρύνιχος Σατύροις* [fr. IV, p. 598 Mein.]· *βοάσομαι γὰρ ἄρα* [scr. *τἄρα*] *τὰν ὑπέρτονον* | *βοάν.* — — *χορικῇ περιπλοκῇ εἴρηται, καὶ διαλέκτῳ Δωρίδι*: id. ad vs. 1155: *λυσανίας*] . . . *πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα* [fr. 765 D.]· *Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν Καὶ πυυσανίαν κατ᾽ Ἀτρειδᾶν*: id. ad vs. 1157: *ὁ Εὐριπίδης ἐν τῷ τῆς Ἑκάβης δράματι δι᾽ αὐτῆς φησίν* [vs. 173.]· *ὦ παῖ παῖ, Πολυξένη δηλονότι, ἔξελθ᾽, ἔξελθ᾽ οἴκων.* — 12. *ὃν κάλεσον ἔνδοθεν τρέχων* Rav. Ven. — 13. Mit *ὦ παῖ* schliefst G. Herm. den Vers, und nimmt als einen Vers *ἔξελθ᾽* — *πατρός* zusammen. — 17. Schol. ad Arist. Nub. 1196: *Στρεψίαδες*] *Στρεψιάδη μὲν ἡ κλητική· ἀλλ᾽ ἵνα παίξῃ εἰς τὸ ὄνομα, διέστρεψε τὴν κλητικὴν καὶ ὡς ἄγροικος ἐπτωσεν*: G. Herm. ad l. c.: *Strepsiades plenus gaudii quum encomium in se filiumque canere suscipit, poetarum more insuetis nominum formis uti conatur.* — 21. *χοἱ . . ἡ-*|*νίκ᾽ . . . λέγων* | *τὰς δίκας. ἀλλ᾽ κτλ.* G. Herm. — 24. Schol. ad Ar. Ran. 1359: *φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν Εὐριπίδου· Ἀσκληπιάδης, παρὰ τὰ ἐξ Ἑκάβης* [vs. 68.] *Εὐριπίδου, ἐν μιμήσει δηλονότι· οὕτω γὰρ παραγέγραπται· ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ, τί ποτ᾽ αἴρομ᾽ ἔννυχος;*: id. ad vs. 1367: *ἀμφίπολοι*] *Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Εὐμενίδων* [lege *Τημενιδῶν*: cf. Matth. ad Eur. T. IX, p. 347.]: id. ad vs. 1376: *Νύμφαι*] *ἐκ τῶν*

τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
ὦ Νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι
δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόπολον,
ψυχὰν ἄψυχον ἔχοντα,
μελαίνας Νυκτὸς παῖδα,
φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα,
φόνια φόνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα.
ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε,
κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμετε δ' ὕδωρ,
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον,
τοῦτ' ἐκεῖν'· ἰὼ ξύνοικοι,
τάδε τέρατα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου συναρπάσασα
φρούδη Γλύκη.
Νύμφαι ὀρεσσίγονοι,
ὦ Μανία, ξύλλαβε.
ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον
ἐμαυτῆς ἔργοισι,
λίνου μεστὸν ἄτρακτον
εἱειειειειειλίσσουσα χεροῖν,
κλωστῆρα ποιοῦσ', ὅπως
κνεφαῖος εἰς ἀγορὰν
φέρουσ' ἀποδοίμαν·
ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα
κουφοτάταις πτερύγων ἀκμαῖς·
ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπε,
δάκρυα δάκρυά τ' ἀπ' ὀμμάτων
ἔβαλον ἔβαλον ἁ τλάμων.
ἀλλ', ὦ Κρῆτες, Ἴδας τέκνα,

Ξαντριῶν [v. Valck., Blomfield. in nott. ad h. l. p. 412 sq. T. XII Inv.] *Εὐριπίδου, φησὶν Ἀσκληπιάδης ... ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα· ἄλλως οὐδὲ παρ' Αἰσχύλῳ ταῦτα ἥρμοζε λαμβάνεσθαι.* — 3. *Scribendum videtur ὀρφναία, rarioris usus nomen:* G. Dindorf. — 14. *ὕδωρ produxit in modum Homerici, θέρμετο δ' ὕδωρ:* G. Dind. — S. Ed. Mueller. Gesch. der Theorie der Kunst. I, p. 271. — 35. Schol. ad vs. 1389: *ἀλλ' ὦ Κρῆτες] ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου:* v. Cret. fr. 1 Dind. —

τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ' ἀμπάλλετε, κυκλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς
Ἄρτεμις καλὰ
τὰς κυνίσκας ἔχουσ' ἐλθέτω
διὰ δόμων πανταχῇ.
σὺ δ', ὦ Διὸς, διπύρους ἀνέχουσα
λαμπάδας ὀξυτάταιν χεροῖν, Ἑκάτα, παράφηνον
ἐς Γλύκης, ὅπως ἂν
εἰσελθοῦσα φωράσω. — —

Arist. Av. 904: *Ποιητής: Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα*
κλῇσον, ὦ Μοῦσα,
τεαῖς ἐν ὕμνων ἀοιδαῖς.
Πεισθ. τουτὶ τὸ πρᾶγμα ποδαπόν; εἰπέ μοι, τίς εἶ;
Ποιητ. ἐγὼ μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν,
Μουσάων θεράπων ὀτρηρὸς,
κατὰ τὸν Ὅμηρον.
Πεισθ. ἔπειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις;
Ποιητ. οὐκ, ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι
Μουσάων θεράποντες ὀτρηροὶ,
κατὰ τὸν Ὅμηρον.

§. 241. C: Die von mehreren Bühnenpersonen vorgetragenen Gesänge.

a: Der Inhalt dieser Gesänge und ihre Stelle in der alten Komödie. — Geringer Gebrauch dieser Gesänge in der alten Komödie.

Metrischer Charakter dieser Gesänge. — Die Antistrophen. — Zahl der diese Lieder singenden Schauspieler.

---

11. Schol. ad Arist. Av. 904: *ἔρχεταί τις ποιητὴς ὡς ἐπὶ νεοκτίστου πόλεως ἐγκώμια λέξων*: id. ad vs. 913: *θεράποντες] ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ὁμήρου εἶναι· ἐν ᾧ εἴρηται· Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος*: für die folgenden Verse des *Ποιητής* sind wichtig noch diese Bemerkungen: Schol. ad vs. 926: *σὺ δ', ὦ πάτερ] ἐκ τῶν Πινδάρου ὑπορχημάτων*: v. fr. 71 Boeckh.: id. ad vs. 930: *ἐμὶν] χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ τοῖς τοιούτοις Δωρισμὸν* [s. unt. §. 257, b.], *καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν*: id. ad vs. 952: *νιφοβόλα] ἐπίτηδες δὲ ἀδιανοήτως λέγει, ὅπως διὰ τοῦ ὄγκου τῶν λέξεων ἀπατῶντας, μηδὲν δὲ λέγοντας διαβάλλῃ τοὺς ποιητάς*. — Vrgl. Arist. Av. 1337. 1373: Vesp. 1326, wo Schol. ad vs. 1366: *ἄνεχε] μετὰ λαμπάδων ἔρχεται καὶ μετὰ αὐλητρίδος, .. ὁ δὲ νοῦς παρὰ τὴν ἐν Τρῳάσι Κασσάνδραν* [vs. 322.]· *ἄνεχε, πάρεχε, φῶς φέρω, σέβω, φλέγω*: id. ad vs. 1368: *ἠκολούθουν αὐτῷ τινὲς τῶν τυφθέντων* [s. ob. §. 233, c, p. 270.] *ὑπ' αὐτοῦ*.

§. 241, C: s. Arist. Thesmoph. 1015. —

b: Aristoph. Eccles. 891: *Γραῦς: ... τοὺς αὐλοὺς λαβὼν*
ἄξιον ἐμοῦ καὶ σοῦ προςαύλησον μέλος.
εἴ τις ἀγαθὸν βούλεται παθεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔνεστιν, ἀλλ' ἐν ταῖς πεπείροις·
οὐδέ τις στέργειν ἂν ἐθέλοι
μᾶλλον ἢ 'γὼ τὸν φίλον
ᾧπερ ξυνείην·
ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο.
Νεᾶνις. μὴ φθόνει ταῖς νέαισι. *στρ.*
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
τοῖς ἁπαλοῖσι μηροῖς,
κἀπὶ τοῖς μήλοις ἐπανθεῖ· σὺ δ', ὦ γραῦ, παραλέλεξαι
κἀντέτριψαι,
τῷ θανάτῳ μέλημα.
Γραῦς. ἐκπέσοι σοῦ τὸ τρῆμα, *ἀντιστρ.*
τό τ' ἐπίκλιντρον ἀποβάλοιο
βουλομένη σποδεῖσθαι,
*κἀπὶ τῆς κλίνης ὄφιν εὕροις καὶ προςελκύσαιο * **
βουλομένη φιλῆσαι.

c: Eigenthümlich-komische Erscheinungen.

§. 242. *ϑ*: Wichtigkeit der *τὰ ἀπὸ σκηνῆς* in den keinen Chor habenden Komödien.

Die *Ὀδυσσεῖς* des Kratinos.
Vermuthungen über derartige Stücke.

---

1. Vrgl. die vorhergehenden Verse der Alten, 880: 882: *Μοῦσαι, δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα, | μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν*: des Mädchens, 887: *ἐγὼ δ', ἢν τοῦτο [ᾄδειν] δρᾷς, ἀντᾴσομαι·* Vrgl. §. 214. 215. 216. — Mein. Comm. Grr. Frr. II, p. 62. — c: Schol. ad Arist. Nub. 891: *χώρει δευρί.*] *διπλῆ κορωνὶς ἀποχωρησάντων ὑποκριτῶν· μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται, ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορός, καὶ ἕπεται εἴσθεσις ἀναπαιστικὴ τῶν ὑποκριτῶν· διὸ καὶ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ὑπόκεινται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι, δίκην ὀρνίθων διαμαχόμενοι· ... εἴςθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων κτλ.*: G. Herm. ad h. l.: *oportebat autem chorum hic canticum canere ut actu finito. Simulque dum id caneretur, histriones personas mutabant. Neque enim Strepsiades, qui modo dixit se a proximo colloquio afuturum, aut Socrates in scena manent: sed qui hos agebant histriones in postscenio personas induunt oratorum, mutatoque habitu prodeunt veterem et novam disciplinam defensuri.* —

§. 242, *ϑ*: Platon. ap. Mein. Comm. Grr. frr. I, p. 532, 16: *τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα*: ib. p. 533, 12: *οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας Ὁμήρου*:, v. Bergk. Commentt. de Reliq. Com.

§. 243. **4. Die vom Chore und den Bühnenpersonen vorgetragenen Gesänge.**

a: Wesen der Kommoi in der alten Komödie im Allgemeinen.

b: Einfachere und künstlichere Formen. — Antistrophische Composition. — Die *ἀπολελυμμένα*.

Die Freiheiten der Dichter hinsichtlich der Responsion.

Die durch die Zahl der beiden zusammenwirkenden Partheien möglichen Modificationen der Kommoi.

Die Verschiedenheit des Umfangs der Chorpartie und der der Schauspieler.

§. 244. c: Aristoph. Acharn. 929—939=940—951:

Χορ. ἔνδησον, ὦ βέλτιστε, τῷ
ξένῳ καλῶς τὴν ἐμπολὴν
οὕτως ὅπως·
ἂν μὴ φέρων κατάξῃ.
Δικαιόπ. ἐμοὶ μελήσει ταῦτ', ἐπεὶ
τοι καὶ ψοφεῖ λάλον τι καὶ
πυρορραγὲς
934. κἄλλως θεοῖσιν ἐχθρόν.
Χορ. τί χρήσεταί ποτ' αὐτῷ;
Δικαιόπ. πάγχρηστον ἄγγος ἔσται,
κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
φαίνειν ὑπευθύνους λυχνοῦ-
χος, καὶ κύλιξ
τὰ πράγματ' ἐγκυκᾶσθαι:

Arist. Av. 1313—1322=1325—1334:

Die Strophe s. ob. §. 120, p. 130.

Πεισθ. ὡς βλακικῶς διακονεῖς· μεσῳδ.
οὐ θᾶττον ἐγκονήσεις;
Χορ. φερέτω κάλαθον ταχύ τις πτερῶν, ἀντιστρ.

Att. Ant. I, p. 151 sqq. Meinek. Comm. Grr. Fragm. I, p. 42. II, p. 93 sqq. — Vrgl. ob. §. 216, ζ, p. 250 sq. —

§. 243, 4, a: s. ob. §. 218. — b: s. ob. §. 234, b, α, §. 235, β. —

§. 244, c: Schol. ad Aristoph. Acharn. 937: *διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα, διστιχεῖς ἔχουσαν τὰς περιόδους*: vrgl. Arist. Ach. 1008—1017=1037—1046: Ar. Pac. 459—472=486—499: Schol. ad Pac. vs. 461: *διπλῆ καὶ ἔκθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐκθέσει καὶ παρεκθέσει*: ibid. 856—867=909—921: Schol. ad vs. Pac. 851: *καὶ εἰσὶ τοῦ μὲν χοροῦ τὰ κῶλα Ἰωνικὰ ... ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος κτλ.*: Schol. ad Arist. Av. 313: *ἔσθεσις περιόδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ.* — 27. Zur Strophe: *τύνδε πόλιν* Rav.: *τὰν* G. Herm. El. D. M. 419. Opuscc. T. IV, p. 34. — 30. *πτερύγων* Porson. —

σὺ δ' αὖθις ἐξόρμα,
τύπτων γε τοῦτον ὡδί.
πάνυ γὰρ βραδύς ἐστί τις ὥσπερ ὄνος.
Πεισθ. Μάνης γάρ ἐστι δειλός.
Χορ. σὺ δὲ τὰ πτερὰ πρῶτον
διάθες τάδε κόσμῳ·
τά τε μουσίχ' ὁμοῦ τά τε μαντικὰ καὶ
τὰ θαλάττι'· ἔπειτα δ' ὅπως φρονίμως
πρὸς ἄνδρ' ὁρῶν πτερώσεις:

Arist. Thesmoph. 707:

Χορ. τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε
τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
Μνησίλ. κοὔπω μέντοι γε πέπαυμαι.
Γυνὴ Ζ. ἀλλ' οὖν ἥκεις ὅθεν ἥκεις,
φαύλως τ' ἀποδρὰς οὐ λέξεις
οἷον δράσας διέδυς ἔργον,
λήψει δὲ κακόν.
Μνησ. τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.
Χορ. τίς οὖν σοι, τίς ἂν ξύμμαχος ἐκ θεῶν
ἀθανάτων ἔλθοι σὺν ἀδίκοις ἔργοις;
Μνησ. μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.
Χορ. ἀλλ' οὐ μὰ τὼ θεὼ τάχ' οὐ
χαίρων ἴσως ἐνυβριεῖς,
λόγους τε λέξεις ἀνοσίους.
ἀθέοις ἔργοις γὰρ ἀνταμει-

---

3. πάνυ γὰρ βραδύς τις ἐστὶν ὥσπερ ὄνος Rav. Ven. — 4. Schol.: πρὸς ἄλλον δὲ λέγει τύπτων τὸν Μανῆν: id. ad vs. 1319: φέρειν] δῆλον, ὅτι ταῦτα πρὸς τὸν Μανῆν: id. ad vs. 1327: βλακικῶς] Πεισθέταιρος πρὸς τὸν Μανῆν. — Vrgl. Arist. Nub. 707 sqq. Lysistr. 781—804=805—828: 952 sqq. — 11. Schol. Ven. ad Arist. Thesm. 689: ἁρπάζει παιδίον μιᾶς γυναικός, καὶ καταφεύγει ἐν τῷ ἱερῷ, λέγων ὅτι ἐάν με τύψητε, κατασφάξω τοῦτο τὸ παιδίον. ἀντὶ δὲ παιδίου ἀσκὸν οἴνου λαμβάνει, καὶ αὐτὸν ἐνδύει κροκωτὸν, καὶ ποιεῖ αὐτῷ χεῖρας καὶ πόδας καί φησιν αὐτὸ παιδίον. διαβάλλει δὲ τὰς γυναῖκας ὡς ἐν ταῖς μάχαις αὐτῶν τοὺς ἀσκοὺς τῶν οἴνων κατεχουσῶν. — Als Antistrophe von vss. 667—686 sieht diefs Gespräch an G. Herm. in Zimm. Ztsch. f. Alterth. 1838, p. 686: s. ob. §. 233, p. 269. — 14. Aug. ἀλλ' οὖν ἥκισθ' ὅθεν ἥκεις, Rav. Inv. ἀλλ' οὐθ' ἥκεις τ' ὅθεν ἥκεις, Rav. Bekk. ἀλλ' οὖν ἥκεις ὅθεν ἥκεις: Fritzsch. ἀλλ' οὖν ἥκεις γ' ὅθεν οὐχ ἥξεις. — G. Herm. l. c. constituirt die Verse von ἀλλ' οὖν .. δὲ κακὸν so: ἀλλ' οὖν ἥκεις | ὅθεν οὐ φαύλως γ' ἀπόδρας λέξεις | οἷον δράσας διέδυς ἔργον | λήψει δὲ κακόν. — 18. ἐπεύχομαι G. Herm. l. c. — 20. ξὺν Fr., G. Herm. — 22. ἀλλ' — ἴσως ein Vers bei Fr. — 32. ἴσως ἔτ' G. Herm. l. c. — ἐνυβριεῖς ... ἀνοσίους ein Vers bei Fr., der τε nach λόγους streicht. — 24. Das Punctum nach ἀνοσίους streicht G. Herm. — 25. ἔργοις γὰρ ἀθέοις ein Vers bei Fr.: ἀθέοις ἐπ' ἔργοις· καὶ γὰρ ἀντ- | αμειψόμεσθά σ', ὥσπερ εἰ- | κὸς ἀντὶ τῶνδε. τάχα δέ σ'

ψόμεσθά, σ', ὥσπερ εἰκὸς, ἀντὶ τῶνδε.
τάχα δέ σε μεταβαλοῦσ'
ἐπὶ κακὸν ἑτερότροπον
ἐπέχει τις τύχη.
ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν σ', ἐκφέρειν τε τῶν ξύλων,
καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ' ὅσον τάχος.
Γυνὴ Ζ. ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία,
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.

§. 245. d: Die kommatische Composition gröſserer Massen.

α: Die Stelle gröſserer kommatischer Massen in der alten Komödie.
Die Gründe für die Aufnahme kommatischer Massen in die alte Komödie. — Vergleich der alten Komödie in Hinsicht derartiger Massen mit der Tragödie und der neuen Komödie. — Die Parodie. — Das tägliche Leben.
Das Verhältniſs des Chors und der Bühnenpersonen zu einander in diesen Massen und die daraus hervorgehenden komischen Effecte und Situationen.

β: Metrische Form der kommatischen Massen im Allgemeinen.
Die Trennung und die Verschlingung von Strophen und Antistrophen. — Die Mannichfaltigkeit dieser Formen.
Die Ansichten der Alten.

ἂν | μεταβαλοῦσ' ἂν ἐπὶ κ. ἑτ. | τις ἐπέχοι τύχη G. Herm.: womit die Antistr. schlieſst. — 1. ἀνταμειψόμεσθά .... τῶνδ' ἔτι Fritzsch. — Schol.: κάθηται ἐπὶ βωμοῦ ὡς ἱκετεύων, ἡρπακώς τινος θυγάτριον· φαίνεται δὲ ἀσκὸν ἔχων. — 2. σε streicht Fritzsch. — 3. ἐπὶ κάχ' ἑτερότροπα Fr. — 4. τίς σ' ἔτ' ἔχει τύχη Fr. — 5. Schol.: τάσδε] πρὸς τὰς γυναῖκας: v. Fritzsch. ad h. l. — 7. Schol.: ὄνομα κύριον δούλης τὸ Μανία· καὶ ἐκτεταμμένον ἔχει τὸ α. —

§. 245, d: Arist. Ach. 288—392: Schol. ad Ar. Ach. 336: διπλαῖ δὲ δύο· ἢ ὅτι ἡ ἑτέρα ἕπεται δυὰς, ἡ ἀντιστρέφουσα τῇ ἀποδεδομένῃ, ἧς ἡ ἀρχὴ, ὡς ἀποκτενῶ κέκραχθε· τέλος δὲ τῆς πρώτης, οὐ προδώσω ποτέ· τῆς δὲ δευτέρας· τῇ στροφῇ γίνεται: ib. ad vs. 353: σειστός] χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται· τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως· ἀναστρεφόμενοι δὲ ἀποτινάσσουσι τοὺς χιτῶνας καὶ ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι· λέγεται δὲ στροφὴ τῶν κώλων τὸ σύστημα: ib. ad vs. 366: διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χορικοῦ πεντάκωλον δοχμίων·.. ἄλλως· εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα· ἔχει γὰρ καὶ ἀντίστροφον, τὴν, τί ταῦτα στρέφεις. — Arist. Equitt. 303—412: Schol. ad Equitt. 373: βλεφαρίδας] παρεπιγραφὴ τὸ σχῆμα· ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας, ἐκτίλλει· τῶν γὰρ βυρσῶν ἐστιν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας: Ar. Pac. 939—1038, wo Schol. Ven. ad vs. 940, p. 249. T. IX, P. 2 Invern.: διπλῆ· ἕπεται γὰρ μέλος, ὃ ὑπονοῶ μὲν ἔχειν τὸ ἀντίστροφον ἐν διεχείᾳ, φέροντι δὲ ὡς διάφορον. διόπερ πρότερον παραθήσομαι ὡς φέρεται. καὶ ἔοικεν ἐνταῦθα τὸ κατορθοῖ περιττεύειν, καὶ τὸ ὅ τέ σύνδεσμος πρὸς τὸ „σέ τοι θύρασι χρὴ μένειν ὄντ τινας." καὶ τοῦτο ἁμάρτημά ἐστιν, ὅτε πρῶτα γ'

§. 246. γ: Aristoph. Av. 305: *Εὐελ.*: ἰοὺ ἰοὺ τῶν ὀρνέων,
ἰοὺ ἰοὺ τῶν κοψίχων.
οἷα πιππίζουσι καὶ τρέχουσι διακεκραγότες.
ἆρ' ἀπειλοῦσίν γε νῷν; οἴμοι, κεχήνασίν γέ τοι
309. καὶ βλέπουσιν εἰς σὲ κἀμέ. *Πεισθ.* τοῦτο μὲν κἀμοὶ δοκεῖ.
Χορ. ποποποποποποποποῦ μ' ἄρ' ὃς ἐκάλεσε; τίνα τόπον ἄρα νέμεται;
Ἐπ. οὑτοσὶ πάλαι πάρειμι κοὐκ ἀποστατῶ φίλων.
Χορ. τιτιτιτιτιτιτιτιτίνα λόγον ἄρα ποτὲ πρὸς ἐμὲ φίλον ἔχων;
Ἐπ. κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον.
318. ἄνδρε γὰρ λεπτὼ λογιστὰ δεῦρ' ἀφῖχθον ὡς ἐμέ.
Χορ. ποῦ; πᾶ; πῶς φῄς;
Ἐπ. φήμ' ἀπ' ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο·
321. ἥκετον ἔχοντε πρέμνον πράγματος πελωρίου.
Χορ. ὦ μέγιστον ἐξαμαρτὼν ἐξ ὅτου 'τράφην ἐγώ,
πῶς λέγεις; *Ἐπ.* μήπω φοβηθῇς τὸν λόγον. *Χορ.* τί μ' εἰργάσω;
Ἐπ. ἄνδρ' ἐδεξάμην ἐραστὰ τῆςδε τῆς ξυνουσίας.
Χορ. καὶ δέδρακας τοῦτο τοὔργον; *Ἐπ.* καὶ δεδρακώς γ' ἥδομαι.
Χορ. κἄστὸν ἤδη που παρ' ἡμῖν; *Ἐπ.* εἰ παρ' ὑμῖν εἴμ' ἐγώ.
Χορ. ἔα ἔα, στρ.
327. προδεδόμεθ' ἀνόσιά τ' ἐπάθομεν·
ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
330. ἐνέμετο πεδία παρ' ἡμῖν
παρέβη μὲν θεσμοὺς ἀρχαίους,
παρέβη δ' ὅρκους ὀρνίθων·
ἐς δὲ δόλον ἐκάλεσε, παρέβαλέ τ' ἐμὲ παρὰ
γένος ἀνόσιον, ὅπερ ἐξότ' ἐγένετ' ἐπ' ἐμοὶ
335. πολέμιον ἐτράφη.
ἀλλὰ πρὸς τοῦτον μὲν ἡμῖν ἐστιν ὕστερος λόγος·

κῶλά ἐστι καὶ μετ' ς. ἀλλὰ ταῦτα μὲν ἐατέον, ὡς δὲ ἔχει, ἐξηγητέον· τὸ τοίνυν πρῶτον τῶν τριῶν κώλων τοῦ ὑποκριτοῦ ἴαμβοι τετράμετροι καταληκτικοὶ καὶ ἀναπαιστικοὶ δύο δίμετρα καταληκτικόν τε καὶ ἀκατάληκτον.

§. 246, γ: Arist. Vesp. 317—378. Av. 366—434. — 6. Cf. G. Dind. ad Ar. Av. 230. ed. 1822: G. Herm. El. D. M. 510. Fritzsch. ad Arist. Thesm. p. 173. — Schol. ad Ar. Av. 313: ποποποποποπό] εἴςθεσις περιόδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ· .. ὧν τὰ πρῶτα τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ πενθημιμερῆ ἐπιμεμιγμένα τετραβράχεσιν. — ἐκάλεσε] ἐκάλεσεν Γ. — 11. Schol.: διαταράσσονται οἱ ὄρνιθες ἀκηκοότες ἄνδρας παρεῖναι· ὑποπτεύουσι γὰρ αὐτοὺς εἶναι ὀρνιθοθήρας. — 21. Schol.: ἔα] εἴσθεσις ἑτέρα μέλους χοροῦ στροφῆς λόγον ἔχουσα· ἔχει γὰρ καὶ ἀντίστροφον τὴν, ἰὼ ἰώ: cf. G. Herm. El. D. M. 384. 511. Reisig. Conject. in Arist. p. 191. — 27. S. ob. §. 148, γ, p. 165, 15. —

τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην
διαφορηθῆναί θ' ὑφ' ἡμῶν. Πεισθ. ὡς ἀπωλόμεσθ' ἄρα.
Εὐελπ. αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες; Πεισθ. ἵν' ἀκολουθοίης ἐμοί.
Εὐελπ. ἵνα μὲν οὖν κλάοιμι μεγάλα. Πεισθ. τοῦτο μὲν ληρεῖς ἔχων
κάρτα· πῶς κλαυσεῖ γάρ, ἢν ἅπαξ γε τὠφθαλμὼ 'κκοπῇς;
Χορ. ἰὼ, ἰὼ,
ἔπαγ', ἔπιθ', ἐπίφερε πολέμιον
ὁρμὰν φονίαν, πτέρυγά τε παντᾶ
περίβαλε περί τε κύκλωσαι·
ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω
καὶ δοῦναι ῥύγχει φορβάν.
οὔτε γὰρ ὄρος σκιερὸν οὔτε νέφος αἰθέριον
οὔτε πολιὸν πέλαγος ἔστιν ὅ τι δέξεται
τώδ' ἀποφυγόντε με.
ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.
που 'σθ' ὁ ταξίαρχος; ἐπαγέτω τὸ δεξιὸν κέρας.
Εὐελπ. τοῦτ' ἐκεῖνο· ποῖ φύγω δύστηνος; Πεισθ. οὗτος, οὐ μενεῖς;
Εὐελ. ἵν' ὑπὸ τούτων διαφορηθῶ; Πεισθ. πῶς γὰρ ἂν τούτους δοκεῖς
ἐκφυγεῖν; Εὐελπ. οὐκ οἶδ' ὅπως ἄν. Πεισθ. ἀλλ' ἐγώ τοί σοι λέγω
ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν χυτρῶν.
Εὐελπ. τί δὲ χύτρα νὼ γ' ὠφελήσει; Πεισθ. γλαῦξ μὲν οὐ πρόςεισι νῷν.
Εὐελπ. τοῖς δὲ γαμψώνυξι τοιςδί; Πεισθ. τὸν ὀβελίσκον ἁρπάσας
εἶτα κατάπηξον πρὸς αὑτόν. Εὐελπ. τοῖσι δ' ὀφθαλμοῖσι τί;
Πεισθ. ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν ἢ τρυβλίον.
Εὐελπ. ὦ σοφώτατ', εὖ γ' ἀνεῦρες αὐτὸ καὶ στρατηγικῶς·

---

7. *κάρτα· Εὐελπ. πῶς; Πεισθ. κλαυσεῖ κτλ.*: so Dind. ed. 1822. — 8. Schol.: *παρακελεύονται* [s. ob. §. 224, *a*, b.] *ἑαυτοῖς ὡς ἐν πολεμικῇ παρατάξει, βουλόμενοι κατ' αὐτῶν ὁρμῆσαι*: vrgl. O. Muell. zu Aesch. Eum. p. 82. 87, n. 4. p. 94. G. Herm. Opuscc. VI, 2, p. 141. 158. — 13. Schol.: *παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας* [fr. 6 Dind.], *ἐκθεῖναι κήτει φορβάν, ὡς Ἀσκληπιάδης, τὰ μηδὲ διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος, καὶ τὸ, σὰ γὰρ ταῦτα πάντα, καὶ τὸ, τῇδε καὶ τὸ κεῖσε* [v. Ar. Av. 423.], *παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησιν· κἀκεῖσε, καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ* [Eur. Phoen. 273.]· *καὶ ὅλως παραπλήσιον πολὺ τὸ τοιοῦτον.* — 18. Schol.: *ὡς ἐπὶ πολέμου δὲ τοῦτό φησι.* —

ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν ταῖς μηχαναῖς.
Χορ. ἐλελελεῦ, χώρει, κάθες τὸ ῥύγχος· οὐ μένειν ἐχρῆν.
ἕλκε, τίλλε, παῖε, δεῖρε, κόπτε πρώτην τὴν χύτραν.
Ἐπ. εἰπέ μοι τί μέλλετ', ὦ πάντων κάκιστα θηρίων κτλ. —

§. 247. 5. Die Anapaistischen Partien der alten Komödie.

a: Der Charakter und die Geltung der Anapästen in der alten Komödie im Allgemeinen.
Vergleich des Gebrauchs der Anapästen in der alten Komödie mit dem in der Tragödie.
Genauere Bestimmung der hier zu betrachtenden Massen.
Der Chor.
Die Schauspieler. — Monodien. — Dialog. — Kommatische Formen. — Parodie und Ironie.
Die Theorie der Alten.

b: Aristoph. Ach. 1143: *ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.*
ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν·
τῷ μὲν πίνειν στεφανωσαμένῳ,
σοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
τῷ δὲ καθεύδειν
μετὰ παιδίσκης ὡραιοτάτης,
ἀνατριβομένῳ τε τὸ δεῖνα.

Arist. Av. 209. *ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου*
λῦσον δὲ νόμους ἱερῶν ὕμνων,
οὓς διὰ θείου στόματος θρηνεῖς,

2. Schol.: *ἐλελελεῦ] ἐπίφθεγμα πολεμικόν· οἱ προσιόντες γὰρ εἰς πόλεμον τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως· καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν τῷ Φιλοκτήτῃ* [Urlichs Ach. frr. p. 38.] *ποιεῖ τὸν Ἀγαμέμνονα παραγγέλλοντα τοῖς Ἀχαιοῖς.* —

§. 247, 5, a: s. ob. §. 115. — S. ob. §. 219. — b: vrgl. ob. §. 227, g, a. — 15. Schol.: *κορωνὶς καὶ εἴσθεσις εἰς μέλος τοῦ χοροῦ προῳδικόν, περιόδων τριῶν.* — Aristoph. Vesp. 737 sqq.: Arist. Pac. 154—172 [vrgl. ob. §§. 225. 226.], wo Schol.: *εἴσθεσις δὲ τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ τελευταίου:* Schol. Ven. ad vs. 154: *καὶ τάδε ἐκ τοῦ Βελλεροφόντου [Εὐριπίδου] „ἴθι χρυσεοχάλινε, αἴρων πτέρυγας·" τὸν κάνθαρον τῷ Πηγάσῳ ἀπεικάζων. διπλῇ δὲ εἴσθεσις εἰς περίοδον ἀναπαίστους τοῦ πρεσβύτου ὀκτὼ καὶ τριακοντάμετρος ιθ' κώλων.* — Arist. Pac. 978—1017: Schol. ad vs. 1010: *ἐκ Μηδείας] μήποτε ἐκ τῆς Εὐριπίδου Μηδείας παραγράφει ἐκεῖνα* [vs. 96 ibiq. v. Matth.]*· ὦ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν. οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα.* — Arist. Thesm. 39—62. — 22. Cram. Anecdd. e Mss. Paris. T. I, p. 9, 2: *ἐν ἐαρινῷ καιρῷ πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς καὶ μελαίναις, βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρί, ὀρύγμασί τε καταγείοις καὶ ὑπογαίοις, καὶ ὑδάτων δεξαμεναῖς* (sic) *εἰς τύπον θαλάσσης, ταρτάρου, ᾅδου, κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός,*

τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
ἐλελιζομένη διεροῖς μέλεσιν
γένυος ξουθῆς·
καθαρὰ χωρεῖ διὰ φυλλοκόμου
μίλακος ἠχὼ πρὸς Διὸς ἕδρας,
ἵν' ὁ χρυσοκόμας Φοῖβος ἀκούων,
τοῖς σοῖς ἐλέγοις ἀντιψάλλων
ἐλεφαντόδετον φόρμιγγα, θεῶν
ἵστησι χορούς·
διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
ξύμφωνος ὁμοῦ
θεία μακάρων ὀλολυγή. [*αὐλεῖ.*]

§. 248. 6. Die Schlufsscene.

a: Die vollständige *ἔξοδος*.

Der Umfang. — Die Absonderung der *ἔξοδος* von den vorhergehenden Massen. — Glänzende und einfache Formen.

Das Bedingtseyn der Form durch den Inhalt.

b: Die unvollständige *ἔξοδος*.

Die fehlenden Theile.

c: Vortrag und Darstellung der Exodos. — Mannichfaltigkeit. — Parodie.

Das Abtreten des Chors.

οὐρανοῦ, ἡμέρας καὶ ἀνακτόρων, καὶ πάντων ἁπλῶς· αὐλάς τε οἱ μικρὰς εἶχεν ἐξειργασμένας, καὶ ἀψῖδας εἰς τύπον ὀρῶν. Διὰ μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ θέατρα· ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρου ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς [v. Cramer. Anecdd. Ox. III, 346, 10.]. *Τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία*: Schol. Ven. ad Aristoph. Pac. 180, p. 231: *ἔστι δὲ καί τι ἄντρον ἐπὶ τῆς σκηνῆς καὶ λίθοι*: Aristoph. Av. 54. — — Arist. Ran. 1500 sqq.: Hermipp. ap. Meinek. Comm. Grr. frr. T. II, p. 395.

§. 248, 6, a: Vit. Arist. ap. Mein. Comm. Grr. Fragmm. T. I, p. 546, 1: *πόσα μέρη κωμῳδίας· α'. πρόλογος τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β'. χορικὸν τὸ τοῦ χοροῦ διδόμενον μέλος. γ'. ἐπεισόδιον τὸ μεταξὺ δύο χορικῶν μελῶν. δ'. ἔξοδος τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ*: Schol. ad Arist. Ran. 1537: *ἄγε δή*] *ἔκθεσις τοῦ δράματος, ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κζ'*: s. ob. §. 221, A, b. §. 233, a. — Arist. Pac. 1316. Av. 1706. Lysist. 1072. Ran. 1500. — Arist. Equitt. 1316 sqq. Nub. 1476. — b: Arist. Acharn. 1190. Thesmoph. 1210. — c: Schol. Ven. ad Arist. Pac. 1333: *ἐν τούτοις φέρονται κατά τινας παραγραφαί, ἵνα ὁ χορὸς ἀνὰ μέρος* [v. C. F. Hermann. ad Lucian. q. hist. conscr. op. p. 7.] *αὐτὰ λέγῃ. ὁ δ' ἀναπαιστικὸς ἑπτακαιδεκάμετρος θ' κώλων, ὅτι ἔχει μονόμετρον τὸ στ.* — Schol. ad Arist. Av. 1726: *ἄναγε*] *χλευάζει δὲ παρὰ τὰ ἐκ Τρῳάδων Εὐριπίδου* [308]*· ἄνεχε, πάρεχε, φῶς φέρε.* — Arist. Vesp. 1535: *ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε Ἡμᾶς ταχύ. τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν, Ὀρχούμενον ὅστις ἀπήλλαξεν χορὸν τρυγῳδῶν*: wozu Schol. Ven. ad vs. 1572: *εὐχερῶς δὲ, ὡς ἐν τέλει, τὴν*

§. 249. C. Die alte Komödie als ein Ganzes betrachtet.
Die Einheit das Hauptprincip der alten Komödie.
Die Hauptmassen. — Die Theile der Hauptmassen. — Freiheit der alten Komödie in Hinsicht auf die Eintheilung im Ganzen.
Die Uebergänge von einem Theile zum andern.
Das Verhältnifs der einzelnen Theile zu einander.
Ungebundenheit und Strenge der alten Komödie. — Vergleichung zwischen Komödie und Tragödie und wechselseitiges Verhältnifs beider namentlich in metrischer Hinsicht.
Muthmaafsliches Verhältnifs zwischen Kratinos, Eupolis und Aristophanes. — Blick auf Pherekrates und Platon.
Die Atheuer und ihre Bildung.

§. 250. B: Die mittlere und neue Komödie der Attiker.
A: Die mittlere Komödie der Attiker.
Der Charakter der mittlern Komödie im Allgemeinen.
Der Stoff. — Die Parodie. — Der Chor. — Der Dialog.

ἔξοδον τῶν προςώπων βούλεται ποιῆσαι: Schol. vulg. ad vs. 1573: *εἰςέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος, οὐδαμῶς δὲ ἐξέρχεται.* —

§. 249, C: Platon. ap. Mein. Comm. Grr. frr. I, p. 534, 1: *Κρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητής, ἅτε δὴ κατὰ τὰς Ἀρχιλόχου ζητήσεις* [Hemsterh. ap. Geel. Bibl. Crit. Nov. T. IV, p. 8: *δὴ καὶ τὰ Ἀρχιλόχου ζηλώσας*: Bergk. Comm. de Rell. Com. Att. Ant. I, p. 4: *κατὰ τὰς Ἀρχ. εἰςηγήσεις*: Lehrs. de Aristarch. p. 25: *ἅτε δὴ ἰάμβους Ἀρχ. ζηλώσας*: Mein. l. c. p. 53: *ἅτε δὴ καταχήνας Ἀρχιλόχου ζηλώσας*: v. Schneidew. ap. Bergk. l. c. p. 439.], *αὐστηρὸς μὲν ταῖς λοιδορίαις ἐστίν. οὐ γὰρ ὥσπερ ὁ Ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ, τὸ φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν, ἀλλ' ἁπλῶς καὶ κατὰ τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ* [v. Schneidew. ad App. Provv. I, 85.] *τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόντων. πολλῆς δὲ καὶ τῆς τροπῆς τυγχάνει. εὔστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προϊὼν καὶ διασπῶν τὰς ὑποθέσεις οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰςηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται, καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ Ἅιδου νομοθετῶν πρόσωπα, καὶ δι' αὐτῶν εἰςηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως. ὥσπερ δέ ἐστιν ὑψηλός, οὕτω καὶ ἐπίχαρις, καὶ περὶ τὰ σκώμματα λίαν εὔστοχος. ὁ δὲ Ἀριστοφάνης τὸν μέσον ἐλήλακε τῶν ἀνδρῶν χαρακτῆρα· οὔτε γὰρ πικρὸς λίαν ἐστὶν ὥςπερ ὁ Κρατῖνος, οὔτε χαρίεις ὥσπερ ὁ Εὔπολις, ἀλλ' ἔχει καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν τοῦ Κρατίνου καὶ τὸ τῆς ἐπιτρεχούσης χάριτος Εὐπόλιδος*: s. ob. §. 220: §§. 17. 24.

§. 250, A: Anon. *π. κωμῳδ.* ap. Mein. Comm. Grr. Frr. I, p. 537, 6: *τῆς δὲ μέσης κωμῳδίας οἱ ποιηταὶ πλάσματος μὲν οὐχ ἥψαντο ποιητικοῦ, διὰ δὲ τῆς συνήθους ἰόντες λαλιᾶς λογικὰς ἔχουσι τὰς ἀρετάς, ὥστε σπάνιον ποιητικὸν εἶναι χαρακτῆρα παρ' αὐτοῖς. κατασχολοῦνται δὲ πάντες περὶ τὰς ὑποθέσεις*: Platon. ibid. p. 533, 1: *οἱ δὲ τῆς μέσης κωμῳδίας ποιηταὶ καὶ τὰς ὑποθέσεις ἤμειψαν καὶ τὸ*

Die Gröfse der Anapästischen Parthie. — Die Daktylen und andere künstlichere Metra.

Eubul. ap. Athen. XV, p. 685, E:

ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ᾽ εἰς δόμους,
εὐθὺς ἀνεκλίνετο· παρῆν στέφανος ἐν τάχει,
ᾔρετο τράπεζα, παρέκειθ᾽ ἅμα τετριμμένη
μᾶζα χαριτοβλέφαρος:

Antiphan. ap. Athen. XI, 471 C, XIV, 642 A: v. Meinek. Comm. Grr. Frr. T. I, p. 298:

ὡς δ᾽ ἐδείπνησαν, συνάψαι βούλομαι γὰρ τἀν μέσῳ,
καὶ Διὸς σωτῆρος ἦλθε Θηρίκλειον ὄργανον,
τῆς τρυφερᾶς ἀπὸ Λέσβου σεμνοπότου σταγόνος
πλῆρες, ἀφρίζον, ἕκαστος δεξιτερᾷ δ᾽ ἔλαβεν.

* * *

εἶτ᾽ ἐπεισῆγεν χορείαν ἡ τράπεζαν δευτέραν
καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.

B: Die neue Komödie der Attiker.

Der Charakter der neuen Komödie im Allgemeinen.

Der Dialog. — Die Gesänge.

Blick auf die Lateiner.

C: Schlufsbemerkungen.

χορικὰ μέλη παρέλιπον, οὐχ ἔχοντες τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας. ὑποθέσεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται, τὸ στρατηγοῖς ἐπιτιμᾶν ...., ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑποθέσεις, ἐπὶ δὲ τὸ σκώπτειν ἱστορίας ῥηθείσας ποιηταῖς ἦλθεν. ἀνεύθυνον γὰρ τὸ τοιοῦτον, οἷον διασύρειν Ὅμηρον εἰπόντα τι ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιητήν: Gauert. in Nieb. und Brand. Rh. Mus. II, p. 50. 499. Stoll. de comoed. gr. generib. Comm. p. 38. Meinek. Comm. Grr. Frr. T. I, p. 271: s. unt. B. — B: Tzetz. in Cram. Anecdd. Oxonn. III, p. 342, 15: *ἡ νέα δέ γε Γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις· Πλείστῳ δὲ χρῆται τῶν ἰάμβων τῷ μέτρῳ· Καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποστρέχει. Τὸ τοῦ σκοποῦ δὲ πλάσμα καὶ λέξις ἅμα Παρεισφοροῦσιν ἡδονὴν κωμῳδίαις· Καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον· Ἐσχηματισμένα τε καὶ παρῳδίαι, Καὶ κλήσεων πλάσεις δὲ καὶ μεταπλάσεις· Σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα:* Cramer. Anecdd. e codd. Paris. T. I, p. 4, 31: *διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν, καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ... διαλέκτῳ δὲ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔσχε, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου· ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσα λέξεις τινάς* [v. Anon. ap. Meinek. l. c. p. 539, 19.]. *ὕλῃ δὲ, καθὸ ἡ μὲν νέα τῷ ἰαμβικῷ μέτρῳ ἐπιπλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις· τῇ δὲ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον· διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χορῶν οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ μάλιστα:* Donat. de Trag. et Comoed. p. X: *Comoedia vetus ut ab initio chorus fuit, paulatimque personarum numero in quinque actus processit: ita paulatim velut attrito atque extenuato choro ad novam Comoediam sic pervenit, ut in ea non modo non inducatur chorus, sed ne locus quidem ullus*

III. Das Drama Satyrikon.

§. 251. A: Der Charakter des Drama Satyrikon. Die Theile des Drama Satyrikon. — Das Anschliefsen des Drama Satyrikon an die Tragödie.

---

iam relinquatur choro. Nam postquam otioso tempore fastidiosior spectator effectus, tunc cum ad cantores ab actoribus fabula transibat, consurgere et abire coepisset, admonuit Poetas primo quidem choros praetermittere, locum eis relinquentes: ut Menander fecit, hac de causa, non ut alii existimant, alia. Postremo ne locum quidem reliquerunt: quod Latini fecerunt Comici: unde apud illos dirimere actus quinquepartitos difficile est. Tum etiam Graeci prologos non habent more nostrorum ... Veteres ipsi quoque negligentius in metris egerunt iambici versus: id. ib. p. XI: *Comoedia autem dividitur in quatuor partes, Prologum, Protasin, Epitasin, Catastrophen. Prologus est prima dictio, a Graecis dicta πρόλογος, ... Protasis est primus actus initiumque dramatis, quo pars argumenti explicatur, pars reticetur ad populi exspectationem tenendam. Epitasis est incrementum processusque turbarum, ac totius ut ita dixerim, nodus erroris. Catastrophe est conversio rerum ad iocundos exitus, patefacta cunctis cognitione gestorum.* — Hephaest. p. 118 Gaisf.: *τῶν δὲ κατὰ στίχον τὰ μὲν ἐστι μικτά, τὰ δὲ οὔ. Καὶ μικτὰ μέν, ὡς αἱ Μενάνδρου κωμῳδίαι· πῇ μὲν γὰρ τετράμετρα ἐν τῷ αὐτῷ ποιήματι, πῇ δὲ τρίμετρα εὑρίσκεται. Τὰ δὲ ἄμικτα, ὡς αἱ τοῦ Ὁμήρου ῥαψῳδίαι:* Mar. Victor. II, 3, 33, p. 2523 P.: *quantum autem ad metrum comicum spectat,.. scio plurimos affirmare Terentianas vel maxime fabulas metrum ac disciplinam Graecarum comoediarum non custodisse, id est, quas Menander, Philemon, Diphilus et ceteri ediderunt. Nostri enim in modulandis metris seu rhythmis veteris comoediae scriptores sequi maluerunt, id est, Eupolin, Cratinum, Aristophanem:* dasselbe steht bei Rufin. I, §. 29, p. 2712 P. aus *Firmianus* [s. ob. §. 34.] *ad Probum de Metris Comoediarum:* Mar. Victor. I, 12, 11, p. 2494 P.: *comicum* [sc. carmen] *vero varia versuum et modulorum lege compositum reperitur, sicut plerumque apud Menandrum, sed et alios, cognoscimus:* Mar. Victor. I, 15, 7, 8, p. 2500 P.: *nam ἀμετάβολα dicta sunt, quod sui generis qualitatem mensuramque semper obtineant, ut sunt Homeri carmina, et ea, quae κατὰ στίχον appellari diximus: Μεταβολικὰ autem, quae ab aliis metris ad alia genera transitum faciunt, qualia esse tragica et comica paulo ante memoravi. Nam et Menander in comoediis frequenter a continuatis iambicis versibus ad trochaicos transit, et rursum ad iambicos redit:* Mar. Victor. III, 2, 12, p. 2551 P.: *sunt item quae primam trochaicam, secundam choriambicam, tertiam trochaicam, sed et quartam syllaba breviorem coniugationem habeant, quorum exempla plerumque apud comicos Diphili et Menandri comoediis reperiuntur:* s. ob. §. 187, β, p. 222: v. Stoll. de comoed. gr. gener. p. 65. Mein. Comm. Grr. Frr. I, p. 435: G. Herm. El. D. M. p. 162: s. ob. §. 90, p. 77, §. 95, 2, α, p. 96, p. 149, p. 223.

§. 251, A: s. ob. §. 88. — Anon. ap. Cramer. Anecdd. Paris. T. I, p. 7, 24: *ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰν ἀπαντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις, καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, ἐκ μέρους,*

Muthmaafsungen über die Behandlung der Chorpartie. — Euripides Kyklops.
Blick auf die Alkestis des Euripides.

§. 252. Allgemeine Bemerkungen über die Entwickelung und Geltung des Metrum im Drama der Hellenen.
Blick auf das Alexandrinische Drama.
Das Drama der Lateiner.

§. 253. Der Dithyrambos.
1. Der Dithyrambos der älteren Zeit.
a: Der Inhalt des Dithyrambos. — Die Aufführung des Dithyrambos. — Die Zahl der Choreuten. — Der Tanz. — *Κύκλιοι χοροί.*
Archilochos. — Arion. — Lasos. — Pindaros.

ὥςπερ τινές φασιν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα· οἷον Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ, ὡς γεωργὸς δοῦλος ἔσταλται εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ προῤῥίζους τὰς ἀμπέλους, νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα γεωργοῦ τοῦ ἀγροῦ, ἄρτους τε μεγάλους ἐποίησε, καὶ τὸν κρείττω τῶν βοῶν θύσας, καὶ τὸν πιθεῶνα διαῤῥήξας, καὶ τὸν κάλλιστον πίθον ὑποπωμάσας, τὰς θύρας τε ὡς τράπεζαν θεὶς, ἤσθιέ τε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν, φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας, τὰ πάντα κατέκλυσεν." Ἔστι δὲ τοιοῦτον Εὐριπίδου δρᾶμα· τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. Τέλος δὲ τραγῳδίας μὲν λύειν τὸν βίον, κωμῳδίας δὲ συνιστᾶν αὐτὸν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεντισμοῖς καθηδύνειν αὐτόν: cf. Cram. l. c. p. 17. Schneidewin in Gött. Gelehrt. Anz. 1840, p. 956. — Grammat. ap. Dind. ad Eurip. Alcest. praef. p. 7, ed. Oxon. 1834: *συνέστηκε δὲ ὁ χορὸς ἔκ τινων πρεσβυτῶν ἐκτοπίων· οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστιδος συμφοραῖς. προλογίζει ὁ Ἥλιος* [corr. *ὁ Ἀπόλλων*]. *εἰσὶ δὲ .... χορηγοὶ* [G. Dind. l. c. corr. p. 9: *Εἰσίδοτος ἐχορήγει:* Glum. de Eurip. Alcest. Comment. p. 18: *εἰσὶ δὲ δύο χορηγοί*]*· τὸ δὲ δρᾶμα* [Alcestis Eur.] *ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει· παρὰ τοῖς τραγικοῖς ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα. ἔστι μᾶλλον κωμῳδίας ἐχόμενα:* cf. G. Hermann. Eurip. Cycl. praef. p. V sqq. — Schol. ad Eur. Alcest. 77: *ἐκ γερόντων Φεραίων ὁ χορός· διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια:* v. G. Herm. ad Alc. l. c.: s. ob. §. 223, d. §. 233, p. 270. — Cramer. Anecdd. Oxon. III, p. 337, 25: *κωμῳδίας· Ἧς εἰκόσι τέσσαρες οἱ χορεγέται, Ἑκκαίδεκα δὲ σατύρων, τραγῳδίας:* O. Mueller in Welck. u. N. Rh. Mus. V, p. 338. — Cramer. Anecdd. Pariss. I, p. 20: *ὑπόρχημα δ' ἂν εἴη* [*In margine: ἐπὰν ὁ χορηγὸς ᾠδαρχεῖν λέγεται τὸ δὲ ἂν εἴη*] *μᾶλλον τῶν σατύρων· ἐκεῖνοι γὰρ ᾄδοντες ἅμα καὶ ὀρχοῦνται.*

§. 252: s. ob. §. 90, V. — S. ob. §. 178, 2. 3.

§. 253, 1, a: Cramer. Anecdd. Paris. T. I, p. 8, 6: *Λυρικοὶ δὲ, οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι, ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπῄνουν, ἢ τὸν Διόνυσον ὕμνουν, ἢ ἑτέρους θεούς:* v. Luetke de Graecor. dithyr. et poetis dithyramb. p. 34. — Tzetz. ap. Cram. Anecdd. Oxon. III, p. 339, 2: *τοὺς διθυράμβους*

b: Die Composition des Dithyrambos.
Der metrische Charakter des Dithyrambos älterer Zeit.
c: Dem Dithyrambos verwandte Gattungen lyrischer Poesie.

§. 254. d: Archil. fr. 69: *ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος*
οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας.

Pind. Dithyr. fr. 3: *δεῦτ' ἐν χορόν, Ὀλύμπιοι,*
ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πολυδαίδαλόν τ' εὐκλέ' ἀγοράν·

τοιγαροῦν μοι λεκτέον. Οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν, Καὶ δῶρον εἶχον, τὰ δὲ λοιπά μοι μάθε. Οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους, Παμπλειστοσυστρόβητον ἔγραφον μέλος· Οἷόνπερ αὐτὸς στίχον ἀρτίως ἔφην· Ἀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ. Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι τρόπους Τοὺς βακχικούς τε, καὶ στροφὰς πολυστρόφους· Κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον, Ἐκ Διονύσου βακχικοῦ χοροστάτου· Ὅς τίς περ ἐξέδραμε θύρας τὰς δύο [v. Welck. Nachtr. z. Aesch. Tril. Prom. p. 191.] *μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα· Φιλόξενον δὲ τὸν Κυθήριον λέγε Τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων*: s. ob. §. 11. — Tzetz. Proll. ad Lycoph. p. 251, T. 1 Muell.: *Λυρικῶν δὲ γνωρίσματα, τὸ πρὸς λύραν τὰ τούτων ᾄδεσθαι μέλη, καὶ χορὸς ἑστὼς κυκλικῶς ἄνδρας ἔχων πεντήκοντα, οἵπερ καὶ δῶρον ταῦρον ἐλάμβανον. Καὶ Διθυραμβικοῖς τοῦτο κοινόν. Οἱ Διθυραμβικοὶ δὲ τῶν Λυρικῶν εἶχόν τι πλέον, τὸ πρὸς Διόνυσον πολυστρόφους πλέκειν τοὺς ὕμνους καὶ τρίποδα ἐλάμβανον*: Welcker Nachtr. z. Aesch. Tril. Prom. p. 241. Boeckh Staatsh. d. Ath. I, 484. id. ad Corp. Inscr. Grr. I, p. 343 sq. Luetk. l. c. 60. — Anon. ap. Cram. Anecdd. Paris. T. I, p. 10, 4: *τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη· στροφή, ἀντίστροφος καὶ ἔξοδος ἢ ἐξέλευσις, πρακτικά· λογικὰ δέ, ᾠδή, ἀντῳδὴ καὶ ἐπῳδός· ἡ οὖν ἀντῳδὴ τῇ ᾠδῇ ἰσαρίθμους ἔχει στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται· ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῷ ἀριθμῷ καὶ τῇ ποιότητι οὐδαμοῦ* [s. ob. §. 214, B, ε.]· *Ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες, πρῶτον μὲν τὴν ᾠδήν, εἶτα τὴν ἀντῳδήν, ἐπὶ δὲ τῷ τέλει τοῦ ἐπῳδοῦ ἤγουν ὑστερῳδήν* [sic] *τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περικλείοντας. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰςελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον.* — Luetck. l. c. p. 62. — Bergk. Comm. de Com. Att. Ant. Rell. 82 sqq. — S. ob. §§. 8. 11. 14. — Suid. s. *Ἀρίων· .. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴν γενέσθαι καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι, καὶ ὀνόμασαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰςενεγκεῖν ἔμμετρα λέγοντας*: v. Bernh., Welcker Nachtr. z. Aesch. Tril. Prom. p. 232. — Cramer. Anecdd. Oxon. IV, p. 253: *ἐρωτηθεὶς* [sc. *Λάσος*] *τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη· τὸ τῶν Ἀθηναίων ἔφη βῆμα· ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρείττω πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.* — b: S. ob. §. 214, B, ε: §. 139, 3, b: unt. §§. 254. 256. —

§. 254, d: 4. s. Welck. Nachtr. z. Aesch. Tril. Prom. p. 231. — 6. *δεῦτ'*] *ἴδετ'* Schneidew. Exercc. critt. p. 21, ad Eustath. prooem. Pindd. p. 29: v. O. Mueller. ind. lectt. aest. Gotting. 1840, p. 4. —

ἰοδετᾶν λάχετε στεφάνων
τᾶν τ' ἐαριδρέπτων λοιβᾶν, Διόθεν τέ με σὺν ἀγλαᾳ
ἴδετε πορευθέντ' ἀοιδᾳ δεύτερον,
ἐπὶ κισσοδέταν θεόν,
τὸν Βρόμιον τὸν Ἐριβόαν τε καλέομεν. γόνον ὑπάτων
μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμειᾶν ἔμολον.
Ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει
φοίνικος ἔρνος, ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται, τότ' ἐπ' ἀμβρόταν χέρσον ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖταί τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖται Σεμέλαν ἑλικάμπυκα χοροί.

§. 255. e: Pratin. Hyporch. ap. Athen. XIV, 617 C:

τίς ὁ θόρυβος ὅδε; τίνα τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπὶ Διονυσιάδα πολυπάταγα θυμέλαν;
ἐμὸς ἐμὸς ὁ Βρόμιος·
ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ παταγεῖν
ἀν' ὄρεα θύμενον μετὰ Ναϊάδων,
οἷά τε κύκνον ἄγοντα
ποικιλόπτερον μέλος.
τὰν ἀοιδὰν κατέστας σύ, Πιερὶς βασίλει'· ὁ δ' αὐλὸς
ὕστερον χορευέτω.
καὶ γάρ ἐσθ' ὑπηρέτας κώμων μόνον,
θυραμάχοις τε πυγμαχίαισι νέων θέλει παρ' οἶνον
ἔμμεναι στρατηλάτας.
παῖε τὸν Φρυναίου ποικίλου προανέχοντα,

---

§. 255, e: 15. Boeckh. M. Pind. 271. Emperius in Zimm. Ztschr. f. Alterth. 1838, N. 101. — 16 *τίνα τάδε*] *τί τάδε* Emper., Bergk. Comm. de Rell. Com. Att. Ant. p. 31. — 19. *ἐμὲ δ. κτλ.* verbindet Bergk. l. c. mit diesem Verse. — *ἐμὲ δ. πατ. . . Ναϊάδων* ein Vers bei Bergk. l. c. — 20. *σύμενον* Boeckh., Bergk., Emper. — 21. *ἄγοντα*] Bergk. l. c. *ᾄδοντα* und giebt es dem folgenden Verse. — 23. Codd. *τὰν ἀοιδάν.* — Codd. *κατέστας, κατεστὰς, καθεστὰς, κατεᾶς.* — *σὺ Πιερὶς*] codd. *ἐπιερεῖς: σὺ Πιερὶς* Heringa Observv. p. 278. — *βασίλεια* codd. und damit schliefst Boeckh den Vers, den folgenden aus *ὁ δ' . . . χορευέτω* machend. — Emper. l. c.: *τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλει'* oder *βασίλειαν.* — 26. *θυραμάχοις τε*] *πυραμάχοις τε* VL, *θῆρσα μάχοις τε* C. — *πυγμαχίαισιν ἔων* [*εων* A] *θία* [*θεα* A] *εἰς* [*ει* B] *πάροινον* BPVL: die LA im Texte ist von Dobree Aristoph. p. 98. — 28. Jacobs. An. in Ath. p. 331: *παῖε τὸν Φρύγα τὸν ποικίλον θροῦν προχέοντα*: Emper. l. c.: *παῦε φρυνίου ποικίλου πνοὰν ἔχοντα*: „*comparatur tibiae sonitus cum voce rubetae, quibus sane aliqua similitudo intercedit.*" —

φλέγε τὸν ὀλεσιαυλοκάλαμον,
λαλοβαρυπαραμελορυθμοβάταν
θυπατρυπάνω δέμας πεπλασμένον.
ἥν ἰδοὺ ἅδε σοι δεξιὰ
καὶ ποδὸς διαῤῥιφὰ, θριαμβοδιθύραμβε
κισσόχαιτ᾽ ἄναξ, ἄκουε
τὰν ἐμὰν Δώριον χορείαν.

§. 256. 2. **Der Dithyrambos der Athener oder der neuere Styl des Dithyrambos.**

A. Die Verpflanzung des Dithyrambos nach Athen.

Die Berücksichtigung des Dithyrambos zu Athen von Staatswegen.

§. 257. B: **Die innere Einrichtung des Dithyrambos.**

a: Die Titel der Dithyramben.

Die verschiedenen Theile des Dithyrambos.

Die Strophen. — Der Anfang. — Die *'Αναβολαί.* — Beliebte Formen des Anfangs. — Der Hauptheil. — Das Ende.

---

1. *ὀλοσίαλον κάλαμον* A, *ὀλοσιαλοκάλαμον* PVL: Emper. *ὀλεσιαλοκάλαμον*, *„ut tibia salivam perdere diceretur."* — 2. *λαλοβαρυοπαρα-* PVL: Emper. l. c.: *λαλοβαρυπαραμελορυθβάταν θ᾽.* — 3. Emper. l. c.: *ὑπαὶ* [*vel ὑπὸ*] *τρυπάνῳ δέμας πεπλασμένον*: *„tibiae corpus terebro dicitur formatum."* — 4. *ην ιδου α δε σοι* A, *ηνιδουαδεσοι* B, *νηνιδουαδίσσι* P, *νηνιδόνα δέ σοι* VL. — *δεξιᾶς* Bamberger ap. Emper. l. c. — 5. *ποδὸς*] *πόλος* codd. — *διάρεφα* A, *διάῤῥιφα* B, *διάροφα* PVL. — S. unt. §§. 278. 279.

§. 256, 2, A: s. ob. §. 18. — Schol. ad Aeschin. Or. c. Timarch. §. 10, p. 741 R.: *ἐξ ἔθους 'Αθηναῖοι κατὰ φυλὰς ἵστασαν πεντήκοντα παίδων χορὸν ἢ ἀνδρῶν, ὥστε γενέσθαι δέκα χορούς, ἐπειδὴ καὶ δέκα φυλαί· διαγωνίζονται δ᾽ ἀλλήλοις διθυράμβῳ φυλάττοντος τοῦ χορηγοῦντος ἑκάστῳ χορῷ τὰ ἐπιτήδεια. ὁ δ᾽ οὖν νικήσας χορὸς* [s. ob. §. 253.] *τρίποδα λαμβάνει, ὃν ἀνατίθησι τῷ Διονύσῳ. λέγονται δ᾽ οἱ διθύραμβοι χοροὶ κύκλιοι* [s. ob. §. 253 fin.] *καὶ χορὸς κύκλιος*: K. O. Mueller zu Aesch. Eumen. p. 75.

§. 257, B, a: s. Emperius in Zimm. Zeitschr. f. Alterth. 1835, Nr. 1. — S. ob. §. 148, 𝔅, a, §. 214, ε. — Schol. ad Ar. Pac. 825: *εἰςβολάς*] *τὰς ἀρχὰς τῶν ᾀσμάτων· ... κωμῳδεῖ τοὺς διθυραμβοποιούς, ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους*: s. unt. b.: Aristot. Rhet. III, c. 14, p. 138, 24 Bekk. ed. min.: *τὰ μὲν γὰρ* [sc. *προοίμια*] *τῶν διθυράμβων ὅμοια τοῖς ἐπιδεικτικοῖς· „διὰ σὲ καὶ τεὰ δῶρα εἴτε σκῦλα*:" ib. c. 9, p. 125, 26: *τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην καὶ τῷ συνδέσμῳ μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί, ἢ κτλ.*: Pind. Ol. VI, in., Mitscherl. ad Horat. Carm. T. II, p. 688. — Schol. ad Ar. Nub. 596: *ἀμφί μοι ἄναξ*] *μιμεῖται δὲ τῶν διθυράμβων τὰ προοίμια· συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν· ἔστι δὲ Τερπάνδρου· ἀμφ᾽ ἐμοὶ ἄνακτα* [*ἄναχθ᾽* G. Herm.] *ἑκατηβόλον* [*ἑκατάβολον ᾀδέτω ἁ φρήν* G. Herm.]. *λείπει δὲ τὸ ἴσο, ἢ τὸ χόρευσον, ἢ τι τοιοῦτον· καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον*: Aristoph. Equitt. 551. 581: Menandr.

b: Die Behandlung der Sprache im Dithyrambos. — Die Wortwahl. — Wortschwall. — Zusammengesetzte Worte. — Der Dialekt.
Die beabsichtigte Wirkung des Dithyrambos.

§. 258. c: Die metrische Form des Dithyrambos.
Die Folge und der Wechsel der Metra.
Der Reichthum an verschiedenen Formen. — Der Einflufs der äufsern Darstellung auf die metrische Composition. — Der Tanz.
Die Gründe des Verfalls des Dithyrambos.
Die musikalische Composition im Allgemeinen.

---

de Encom. c. 3, p. 135, Tom. IX Rhetorr. Graecc. W. — Aristid. *ῥώμ. ἐγκ.* p. 228 Jebb., T. I, p. 369 Dind.: *κράτιστον οὖν, ὥσπερ οἱ τῶν διθυράμβων τε καὶ παιάνων ποιηταί, εὐχήν τινα προςθέντα οὕτω κατακλεῖσαι τὸν λόγον.* — b: Schol. ad Arist. Nub. 332: *αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένη, καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται, διθυραμβοποιοὺς χρηματίσαντας· … ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἐν ἁρμονίᾳ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς μουσικοὶ καλοῦσι στροφὰς καὶ ἀντιστρόφους καὶ ἐπῳδούς*: Plat. Cratyl. p. 409 B: s. unt. §. 258. — Aristot. Rhet. III, c. 3: *διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς.* — Suid. s. *διθυραμβοδιδάσκαλοι: περὶ τῶν μετεώρων καὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά, καὶ συνθέτους δὲ λέξεις ἐποίουν, καὶ ἔλεγον ἐνδιαεριαιερινηχέτους· οἷος ἦν Ἴων ὁ Χῖος ὁ ποιητής· ἐποίησε δὲ ποίημα, οὗ ἡ ἀρχή· Ἀοῖον ἠεροφοίταν ἀστέρα μῆνα μὲν* [scr. *μείνομεν*: v. Nieberd. Ion. frr. p. 54 sqq.] *Ἀελίου λευκῇ πτέρυγι πρόδρομον.* — Epigr. ap. Athen. IV, 162 A, Anth. Palat. Append. n. 288, p. 849, T. II. — S. ob. p. 278, not. 11.

§. 258, c: s. ob. §. 18. — Aristot. Rhet. III, 9, p. 126, 28: *τὰ δὲ μακρὰ* [sc. *κῶλα*] *ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος· ἀπολείπουσι γὰρ καὶ οὗτοι συμπεριπατοῦντας. ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνεται καὶ ἀναβολῇ ὅμοιον. ὥστε γίνεται ὃ ἔσκωψε Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην, ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς, Οἷ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων, Ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίστη· ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τοὺς μακροκώλους λέγειν.* — Plutarch. de ει apud Delph. c. 9, p. 528 R.: *καὶ ᾄδουσι τῷ μὲν* [*Διονύσῳ*] *διθυραμβικὰ μέλη, παθῶν μεστὰ καὶ μεταβολῆς, πλάνην τινὰ καὶ διαφόρησιν ἐχούσης· μιξοβόαν γὰρ Αἰσχύλος* [fr. 381 G. Dind.] *φησὶ πρέπει διθύραμβον ὁμαρτεῖν Σύγκοινον* [*σύγκωμον* Porson.] *Διονύσῳ.* — Cic. Orat. III, 48, 184: *namque ego illud assentior Theophrasto* [s. ob. §. 26.], *qui putat orationem, quae quidem sit polita atque facta quodam modo, non adstricte, sed remissius numerosam esse oportere. Etenim sicut ille suspicatur, ex istis modis, quibus hic usitatus versus efficitur, post anapaestus, procerior quidam numerus, effloruit; inde ille licentior et divitior fluxit dithyrambus: cujus membra et pedes, ut ait idem, sunt in omni locupleti oratione diffusa.* — Schol. ad Aeschin. Timarch. in Schrift. der Königl. Acad. zu Berl. v. J. 1836, p. 288: *ἐν τοῖς χοροῖς δὲ τοῖς κυκλίοις μέσος ἵστατο αὐλητής*: Luetck. l. c. 62. —

§. 259. d: Aristoph. Av. 1383:

Κινησ. Ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος
ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.
Πεισθέτ. ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;
Κινησ. κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται
ἀέριά τινα καὶ σκότια καὶ κυαναυγέα
καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.
Πεισθ. οὐ δῆτ' ἔγωγε· *Κινησ.* νὴ τὸν Ἡρακλέα σύ γε.
ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα
εἴδωλα πετεινῶν
αἰθεροδρόμων
οἰωνῶν ταναοδείρων.
Πεισθ. ὠόπ. *Κινησ.* τὸν ἁλάδρομον ἁλάμενος
ἅμ' ἀνέμων πνοαῖσι βαίην.
Πεισθ. νὴ τὸν Δί' ἦ 'γώ σου καταπαύσω τὰς πνοάς.
Κινησ. τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδὸν,
τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων
ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
χαρίεντά γ', ὦ πρεσβῦτ', ἐσοφίσω καὶ σοφά.

§. 260. e: Melanipp. in Marsya ap. Athen. XIV, 616 E:

Ἁ μὲν Ἀθάνα
ὄργαν' ἔῤῥιψέν θ' ἱερᾶς ἀπὸ χειρὸς
εἶπέ τ', Ἔῤῥετ' αἴσχεα, σώματι λύμα,
ἢ με τάδ' ἐγὼ κακότατι δίδωμι:

Athen. XIV, 651 F: *Μελανιππίδης δ' ὁ Μήλιος ἐν ταῖς Δαναΐσι φοίνικας τὸν καρπὸν οὕτως ὀνομάζει, τὸν λόγον ποιούμενος περὶ αὐτῶν·*

---

§. 259, d: Schol. ad Arist. Av. 1390: πτερωθεὶς] παίζει δὲ πρὸς τὰ ποιήματα τῶν διθυραμβοποιῶν· ἔθος γὰρ αὐτοῖς τοιαῦτα ἐπίθετα λέγειν. ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτῶν: id. ad vs. 1399: δίειμί σου] πλείστη γὰρ αὐτῶν ἡ λέξις τοιαύτη, ὁ δὲ νοῦς ἐλάχιστος, ὡς ἡ παροιμία καὶ διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα: id. ad vs. 1403: ὠόπ] παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν, ὡς οἱ ἐρέσσοντες. κέλευσμα γὰρ τῶν ἐρεσσόντων τὸ ὠόπ, καταπαῦον τὴν κωπηλασίαν: id. ad vs. 1403: ἁλαδρόμον] ἔνια δὲ τῇ συνθέσει ἀδιανόητα. ταῦτα δὲ οὐδὲ ταῖς λέξεσι συνετά. χλευάζει δὲ τοὺς διθυραμβοποιούς: id. ad vs. 1405: καταπαύσω] τοῦτο ἅμα λέγων ὁ Πεισθέταιρος παίει αὐτόν: id. ad vs. 1409: χαρίεντα] ἔτι Κινησίας φησὶ τοῦτο πρὸς τὸν γέροντα τὸν Πεισθέταιρον τὸν τύψαντα αὐτόν. ἐπειδὴ κινεῖ αὐτὸν ὡς ἰσχνὸν τῷ σώματι· λέγει δὲ ὅτι χαριέντως ἐσοφίσω, ἵνα τῷ κινεῖσθαι δοκῇς ἔχειν πτερά.

„Τῶν γὰρ αἴδων οὐ γὰρ ἀνθρώπων φόρευν μορφὰν ἐνεῖδος· οὐδὲ τὰν αὐτὰν γυναικείαν ἔχον· ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντο ἄνευη λιαοδέα πολλάκι θῆρες φρένα τερπόμεναι, ἱερόδακρυ λίβανον εὐώδεις τε φοίνικας κασίαν τε πατεῦσαι τέρενα Συρίας τέρματα."

§. 261. Athen. IV, 146 F: *Φιλόξενος δ' ὁ Κυθήριος ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ, εἴπερ τούτου καὶ ὁ κωμῳδιοποιὸς Πλάτων ἐν τῷ Φάωνι ἐμνήσθη, καὶ μὴ τοῦ Λευκαδίου Φιλοξένου, τοιαύτην ἐκτίθεται παρασκευὴν δείπνου·*

Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν ἄμμι, ἑτέραν δ' ἕτεροι, ἄλλοι δ' ἑτέραν, μέχρι οὗ πλήρωσαν οἶκον.
147. A. *ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγὰς ἐστεφάνοις λαχάνοις παροψίσι τε ὀξυβάφων πλήρεις, σύν τε χλιδῶσαι παντοδαποῖς τέχνας εὑρήμασι πρὸς βιοτὰν ψυχᾶς δελεασματίοισι παρέφερον ἐν κανέοισι μάζας χιονοχρόας. ἄλλοι δ' ἐπεὶ πρῶτα παρῆλθεν οὐ κάκκαβος, ὦ φιλότας, ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον παντ' ἔπαθεν λιπαρόν τ' ἐς ἐγχέλεά τινες ἄριστον, γογγροιτοιωνητεμῶν πλῆρες θεοτερπές. ἐπ'*
B. *αὐτῷ δ' ἄλλο παρῆλθε τόσον βαοτισνέην ἰσόκυκλος· μικρὰ δὲ κακκαβίης, ἔχοντα τὸ μὲν γαλεουτινάρκιον ἄλλου παρῆς*

---

τραγικός· ὁ μὲν οὖν νομικὸς τρόπος ἐστὶ νητοειδής· ὁ δὲ διθυραμβικὸς, μεσοειδής· ὁ δὲ τραγικός, ὑπατοειδής· εἴδει δὲ εὑρίσκονται πλείους, ὡς δυνατὸν δι᾽ ὁμοιότητα τοῖς γενικοῖς ὑποβάλλειν· ἐρωτικοί τε γὰρ καλοῦνταί τινες, ὧν ἴδιοι ἐπιθαλάμιοι, καὶ κωμικοὶ, καὶ ἐγκωμιαστικοί. τρόποι δὲ λέγονται διὰ τὸ συνεμφαίνειν πως τὸ ἦθος κατὰ τὰ μέλη τῆς διανοίας: Mart. Capell. IX, §. 965 Kopp.: *sunt etiam aliae distantiae, quae et tropica mela dicuntur, aliae ὁμοιολογικά: sed haec aptius pro rebus subrogantur, nec suos magis poterunt divisiones afferre.*

§. 345, d, α: Euclid. Int. Harm. p. 21: *ἡσυχαστικὸν δὲ ἦθός ἐστι μελοποιΐας, ᾧ παρέπεται ἠρεμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν· ἁρμόσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ καὶ τὰ τούτοις ὅμοια*: s. ob. §§. 315. 318. — S. ob. §. 293, e. — S. ob. §§. 4. 332. — S. ob. §§. 4, A. 263. — Boeckh. M. P. 251. — S. ob. p. 232.

§. 346, β. Euclid. Int. Harm. p. 21: *συσταλτικὸν* [sc. *ἦθος*] *δέ, δι᾽ οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διάθεσιν· ἁρμόσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι καὶ θρήνοις καὶ οἴκτοις καὶ τοῖς παραπλησίοις*: s. ob. §. 343. — S. ob. §§. 282. 293: §. 253 flgg. — Boeckh. M. P. 252. — S. ob. §. 282.

§. 347, γ: Euclid. Intr. Harm. p. 21: *ἔστι δὲ διασταλτικὸν μὲν ἦθος μελοποιΐας, δι᾽ οὗ σημαίνεται μεγαλοπρέπεια καὶ διαρμα ψυχῆς ἀνδρῶδες, καὶ*

§. 384. *d*: Schlufsbemerkungen.

Durch die Wahl der jüngern Tonarten hervorgebrachte Nüanzen.

Die von den Alten in Behandlung der verschiedenen Theile der Harmonik festgehaltene Gleichheit der Principien.

§. 349. e: Der Uebergang von einer Art der Melopoiïa zu einer andern.

Die Gründe und Wirkung dieses Uebergangs.

§. 350. H. Rückblick auf die Lehren der Hellenen über die Harmonik.

Kurze Vergleichung der Hellenischen und neuern Harmonik.

II. Die Lehre vom Gesange bei und nach den Alten.

§. 351. A. Allgemeine Vorerinnerungen.

a: Die Lehre vom Gesange als ein Theil der Harmonik.

b: Nähere Bestimmung des hier zu betrachtenden Gesanges.

Die Stimme der Rede und die Stimme des Gesangs.

πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα· χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ τραγῳδία καὶ τῶν λοιπῶν δὲ ὅσα τούτου ἔχεται τοῦ χαρακτῆρος: s. ob. §. 343. — S. ob. §. 278. — Schneidew. ad Simon. frr. p. 3 sqq. — Dionys. Halic. Vett. Scrr. Judic. II, 6, p. 420 R.: *Σιμωνίδου παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς, ἀλλ' ὡς ἐκεῖνος, παθητικῶς*: Schneidew. ad Simon. frr. p. 62 coll. Prolegg. p. XL sqq.: s. ob. §. 14.

§. 348, *d*: v. Boeckh. M. P. 252.

§. 349, e: Euclid. Intr. Harm. p. 21: *κατὰ δὲ μελοποιΐαν γίνεται μεταβολή* [s. ob. §§. 327 folgg.], *ὅταν ἐκ διασταλτικοῦ ἤθους εἰς συσταλτικὸν ἢ ἡσυχαστικόν, ἢ ἐξ ἡσυχαστικοῦ εἴς τι τῶν λοιπῶν ἡ μεταβολὴ γένηται*.

§. 350, H: Drieberg die musik. Wissensch. d. Griech. p. 93 flgg.

§. 351, A, a: s. ob. §§. 264. 265. — b: Aristox. El. Harm. I, p. 3: *πρῶτον μὲν οὖν ἁπάντων τὴν τῆς φωνῆς κίνησιν διοριστέον τῷ μέλλοντι πραγματεύεσθαι περὶ μέλους, αὐτὴν τὴν κατὰ τόπον. οὐ γὰρ εἷς τρόπος αὐτῆς ὢν τυγχάνει· κινεῖται μὲν γὰρ καὶ διαλεγομένων ἡμῶν καὶ μελῳδούντων τὴν εἰρημένην κίνησιν· ὀξὺ γὰρ καὶ βαρὺ δῆλον ὡς ἐν ἀμφοτέροις τούτοις ἐστίν· αὕτη δ' ἐστὶν ἡ κατὰ τόπον, καθ' ἣν ὀξύ τε καὶ βαρὺ γίνεται. ἀλλ' οὐ ταὐτὸ εἶδος τῆς κινήσεως ἑκατέρας ἐστίν· ... ἀναγκαῖον δ' .. εἰπεῖν περὶ αὐτοῦ* [sc. *τοῦ φθόγγου*] *μικρὸν ἀκριβέστερον· ..* p. 4: *εἶτα περὶ μέλους ὑποδηλωτέον καὶ τυπωτέον, οἵαν ἔχει φύσιν τὸ κατὰ μουσικήν· ἐπειδὴ πλείους εἰσὶ φύσεις μέλους· μία δέ ἐστί τις ἐκ πασῶν αὐτοῦ, ἡ τοῦ ἡρμοσμένου καὶ μελῳδουμένου*: id. ib. p. 8: *πρῶτον μὲν οὖν ἁπάντων αὐτῆς τῆς κατὰ τόπον κινήσεως τὰς διαφορὰς θεωρῆσαι τίνες εἰσὶ πειρατέον· πάσης δὲ φωνῆς, δυναμένης κινεῖσθαι τὸν εἰρημένον αὐτὸν τρόπον, δύο τινές εἰσιν ἰδέαι κινήσεως, ἥτε συνεχὴς καὶ ἡ διαστηματική· κατὰ μὲν οὖν τὴν συνεχῆ, τόπον τινὰ διεξιέναι φαίνεται ἡ φωνὴ τῇ αἰσθήσει, οὕτως ὡς ἂν μηδαμοῦ ἱσταμένη, μηδ' ἐπ' αὐτῶν τῶν περάτων, κατά γε τὴν τῆς αἰσθήσεως φαντασίαν, ἀλλὰ φερομένη συνεχῶς μέχρι σιωπῆς. κατὰ δὲ τὴν ἑτέραν, .. ἐναντίως φαίνεται κινεῖσθαι· διαβαίνουσα γὰρ ἵστησιν αὐτὴν ἐπὶ μιᾶς τάσεως· εἶτα πάλιν ἐφ' ἑτέρας,*

c: Die Ansichten der Alten vom Gesange.
Der Ursprung des Gesangs. — Das Wort μέλος.
Die durch den Gesang erhöhte Idealität der Poesie.

§. 352. B. Die verschiedenen Arten des Gesangs.

1. Der Gesang einzelner Personen.

a: Vollständiger Gesang einzelner Personen.

α: Die höhere Lyrik.
Die Art der Benutzung der Monodie bei Pindaros.

καὶ τοῦτο ποιοῦσα συνεχῶς· λέγω δὲ συνεχῶς κατὰ τὸν χρόνον, ὑπερβαίνουσα μὲν τοὺς περιεχομένους ὑπὸ τῶν τάσεων τόπους· ἱσταμένη δ᾽ ἐπ᾽ αὐτῶν τῶν τάσεων καὶ φθεγγομένη, ταύτας μόνον κατ᾽ αὐτὰς μελῳδεῖν λέγεται καὶ κινεῖσθαι διαστηματικὴν κίνησιν: ibid. p. 9: τὴν μὲν οὖν συνεχῆ, λογικὴν εἶναί φαμεν· διαλεγομένων γὰρ ἡμῶν οὕτως ἡ φωνὴ κινεῖται κατὰ τόπον, ὥστε μηδαμοῦ δοκεῖν ἵστασθαι· κατὰ δὲ τὴν ἑτέραν, ἣν ὀνομάζομεν διαστηματικὴν, ἐναντίως πέφυκε γενέσθαι· ἀλλὰ γὰρ ἵστασθαί τε δοκεῖ καὶ πάντες τὸν τοῦτο φαινόμενον ποιεῖν, οὐκέτι λέγειν φασὶν, ἀλλ᾽ ᾄδειν· διόπερ ἐν τῷ διαλέγεσθαι φεύγομεν τὸ ἱστάναι τὴν φωνὴν, ἂν μὴ διὰ πάθος ποτὲ εἰς τοιαύτην κίνησιν ἀναγκασθῶμεν ἐλθεῖν· ἐν δὲ τῷ μελῳδεῖν τοὐναντίον ποιοῦμεν· τὸ μὲν γὰρ συνεχὲς φεύγομεν· τὸ δ᾽ ἱστάναι τὴν φωνὴν ὡς μάλιστα διώκομεν· ὅσῳ γὰρ μᾶλλον ἑκάστην τῶν φωνῶν μίαν τε καὶ ἑστηκυῖαν καὶ τὴν αὐτὴν ποιήσομεν, τοσούτῳ φαίνεται τῇ αἰσθήσει τὸ μέλος ἀκριβέστερον: cf. Euclid. Intr. Harm. p. 2. Aristid. Quint. Mus. I, p. 9. — c: Anonym. ap. Boisson. Anecdd. T. IV, p. 458: μέλη δὲ .. ἤτοι διὰ τὸ ἀπὸ τελείων ἀφαιρεῖσθαι μέτρων ... ἢ ἀπὸ Μέλας τοῦ Ὠκεανοῦ θυγατρὸς, καθὰ Λυσανίας [Etym. M. p. 779, 10. nott. critt. ad Diogen. Provv. III, 67: v. infr.] φησὶν, ἢ παρόσον μέλιτι παραπλησίαν ἔχει τὴν ἡδονήν: Aphthon. in Gaisf. Script. Latt. Rei metr. p. 240: *Μέλος autem quod ex his* [tonis] *nascitur, dictum putant a Meline* [Μελία s. Μέλισσα ἡ Ὠκεανοῦ: Apollod. II, 1, 2, ubi v. Heyn. nott. critt.] *Oceani filia, quam primam quatuor chordis usam adfirmat Lysanias, sive ut Licy*[…]*nius* [Aristot. Rhet. III, 13 fin. Walz. Rhett. Grr. T. VII, 2, p. 1224.] ἀπὸ τοῦ μελεϊζειν, τουτέστι θρηνεῖν. *Quibusdam placet ab apibus, quae Graece μέλισσαι dicuntur: nam sicut illae omni cura flores legunt, ut mella conficiant,* καὶ ὅτι μέλει αὐταῖς *hoc studium, μέλισσαι dictae, in scriptura quoque quicquid floris est in sono vocis et rhythmis ad componenda μέλη colligimus ut auribus tradamus.* — Aristot. Probll. XIX, 10: διὰ τί, εἰ ἥδιον ἡ ἀνθρώπου φωνὴ, ἡ ἄνευ λόγου ᾀδόντος οὐχ ἡδίων ἐστὶν, οἷον τερετιζόντων, ἀλλ᾽ αὐλὸς ἢ λύρα; ἢ οὐδ᾽ ἐκεῖ, ἐὰν μὴ μιμῆται, ὁμοίως ἡδύ; οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἔργον αὐτό· ἡ μὲν γὰρ φωνὴ ἡδίων ἡ τοῦ ἀνθρώπου, κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος· διὸ ἥδιον ἀκούειν [ᾄδειν?] ἢ τερετίζειν: v. Bojesen l. c. p. 76: Cic. Orat. 18, 57: *mira est enim quaedam natura vocis, cujus quidem e tribus omnino sonis, inflexo, acuto, gravi* [v. Goeller. ad h. l.], *tanta sit et tam suavis varietas perfecta in cantibus. Est autem etiam in dicendo quidam cantus obscurior, non hic e Phrygia et Caria rhetorum epilogus, paene canticum, sed ille, quem significat Demosthenes et Aeschines, cum alter alteri objicit vocis flexiones:* v. Goeller. ad h. l.

§. 352, B, 1, α: Pind. Pyth. II, 1, coll. Boeckh. M. P. 266: Thiersch Pind. Uebersetz. I, p. 142. Ulrici Gesch. d. Hellen. Dichtk. II, p. 536.

β: Das Drama. — Die Tragödie.
Die Schauspieler. — Der Chor.

γ: Parodie und Ironie im Gesange. — Oinopas und Andre. — Die Komödie.

b: Die Mittelstufen zwischen der Monodie und der gewöhnlichen Rede.

α: Der Vortrag des Epos. — Stesandros.

β: Das Drama.
Die Dochmien. — Die Iamben.
Dorische Iamben. — Antistrophische Iamben.

2. Der Gesang mehrerer Personen oder der Chorgesang.

a: Das Alter des Chorgesangs bei den Hellenen.

b: Die Volksthümlichkeit des Chorgesangs bei den Hellenen. Die Volkspoesie.

c: Der Chor in den Schöpfungen der vollendeten Poesie.

α: Die höhere Lyrik. — Die Geltung des Chors in der höhern Lyrik. — Die Vorzüge des Chorgesangs.
Stesichoros. — Arion.

β: Das Drama.
Thespis. — Aischylos. — Sophokles.

β: s. ob. §§. 200. 212. 214. 226. — γ: Athen. XIV, 638 B: *Ἀριστόξενος δέ φησιν, ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας· ὃν ἐζήλωσαν Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς.* — Soph. Aiac. 693. — Aesch. Eum. 711 sqq. Soph. Oed. Col. 1447 sqq. El. 1398 sqq. — b, α: s. ob. §. 6, B. Leutsch Grundr. d. Griech. LG. §. 53, e. — Athen. XIV, 638 A: *Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην καὶ πρῶτον ἐν Δελφοῖς κιθαρῳδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας*: s. ob. §. 13. unt. c, β. — β: Lucian. de Saltat. §. 27: *εἶτ' ἔνδοθεν αὐτός* [sc. *ὁ ἄνθρωπος*] *κεκραγώς, ἑαυτὸν ἀνακλῶν καὶ κατακλῶν, ἐνίοτε καὶ περιᾴδων τὰ ἰαμβεῖα καί, τὸ δὴ αἴσχιστον, μελῳδῶν τὰς συμφορὰς καὶ μόνης τῆς φωνῆς* [s. unt. §. 354, g, β.] *ὑπεύθυνον παρέχων ἑαυτόν*: id. quom. hist. conscr. op. §. 1: *ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέρει* [v. lect. *μέλει*] *διεξῄεσαν· καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν, Σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων, Ἔρως, καὶ τἄλλα μεγάλῃ τῇ φωνῇ ἀναβοώντων, καὶ τοῦτο ἐπιπολύ, ἄχρι δὴ χειμὼν κτλ.*: v. C. F. Hermann. ad h. l.: s. ob. §. 8. Boeckh. M. P. 203. — S. ob. §. 143, B, a. — S. ob. §. 86: ob. p. 70, 5: ob. §. 207, v, p. 241: Soph. Elect. 1232 sqq., 1404 sqq. — 2, a: s. ob. §. 6, B. — c: s. ob. §. 11. 12. 204. — Aristot. Probll. XIX, 22: *διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδοντες τὸν ῥυθμὸν σώζουσιν ἢ οἱ ὀλίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι καὶ βαρύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσι; ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων.* — β: s. ob. §§. 206 flgg.: Sext. Empir. adv. Music.

γ: Die Zahl der Choreuten in der vollendeten Poesie. Betrachtungen über die nach den Dichtungsarten und der Zeit verschiedene Anzahl der Choreuten in den Schöpfungen der vollendeten Poesie.

§. 353. C. Die Symphonie.

1. Der Begriff der Symphonie bei den Alten im Allgemeinen.
   - a: Das Wort *συμφωνία*.
   - b: Das Verhältniſs der Symphonie der Alten zu der Harmonie der Neuern.
   - c: Die Erfindung der Symphonie bei den Alten.

§. 354. 2. Die einzelnen Arten der Symphonie.

a: Allgemeine Vorerinnerungen.

Der Wortgebrauch. — *Ὁμόφωνος, ὁμότονος, ἰσότονος.* — *Σύμφωνος, ἀντίφωνος.* — *Ἁρμόζειν.*

Die Vorzüge der Symphonie. — Die Mischung der Töne.

VI, §. 16, p. 359 Fabr.: *ἀμέλει γέ τοι καὶ οἱ ποιηταὶ μελοποιοὶ λέγονται, καὶ τὰ Ὁμήρου ἔπη τὸ πάλαι πρὸς λύραν ᾔδετο· ὡσαύτως δὲ καὶ τὰ παρὰ τοῖς τραγικοῖς μέλη τὰ στάσιμα* [s. ob. §. 207.], *φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ οὕτω λεγόμενα, Γαῖα μεγίστη καὶ Διὸς αἰθήρ* [fragm. VI Eurip. Chrysipp.] *κτλ.* — *γ*: s. ob. §§. 207. 223. 253.

§. 353, C, 1, a: Plat. Cratyl. 405 C: Hesych. s. *συμφωνία· ὁμοφωνία*: Bacch. Sen. Introd. Art. mus. p. 2: *συμφωνία δὲ τί ἐστι; Κρᾶσις δύο φθόγγων ἀνομοίων ὀξύτητι καὶ βαρύτητι λαμβανομένων, ἐν ᾗ οὐδέν τι μᾶλλον τὸ μέλος φαίνεται τοῦ βαρυτέρου φθόγγου, ἤπερ τοῦ ὀξυτέρου· οὐδὲ τοῦ ὀξυτέρου ἤπερ τοῦ βαρυτέρου*: Censor. de die nat. c. 10, 5: *symphonia est duarum vocum disparium inter se iunctarum dulcis concentus*: v. Lindenbrog. ad h. l. p. 66. Kopp. ad Mart. Capell. IX, §. 933. Boeckh. M. P. 252: s. ob. §. 265, c. — c: Gaudent. Harmon. Introd. p. 13: *τὴν δὲ ἀρχὴν τῆς τούτων* [sc. *τῶν τῆς συμφωνίας λόγων*] *εὑρέσεως Πυθαγόραν ἱστοροῦσι λαβεῖν ἀπὸ τύχης παριόντα χαλκεῖον, τοὺς ἐπὶ τὸν ἄκμονα κτύπους τῶν ῥαιστήρων αἰσθόμενον διαφώνους τε καὶ συμφώνους· εἰσελθὼν γὰρ εὐθὺς τὴν αἰτίαν τῆς τε διαφορᾶς τῶν κτύπων καὶ τῆς συμφωνίας ἠρεύνα καὶ ταύτην εὑρίσκει, σταθμῶν διαφόρων ἰδὼν τὰς σφύρας· τοὺς δὲ ἐν τοῖς σταθμοῖς λόγους τῶν μεγεθῶν, αἰτίους τῆς τε διαφορᾶς καὶ συμφωνίας τῶν ψόφων. τὰς μὲν γὰρ ἐπίτριτον ἐν τοῖς σταθμοῖς ἐχούσας λόγον, τοῖς ψόφοις διὰ τεσσάρων εὑρίσκει συμφωνούσας· κτλ.*: cf. Nicomach. Harm. Man. I, p. 10 sqq. Meibom. ad Gaudent. l. c. p. 37. Lindenbr. ad Censor. D. Nat. c. 10, p. 67: s. ob. §. 20.

§. 354, 2, a: Man. Bryenn. Harm. p. 381: *ἡ δὲ κατὰ σύμφωνον καὶ διάφωνον* [*διαφορά*], *καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων* [s. ob. §. 265, B, c.] *σύμφωνα, ἃ δὲ διάφωνα· σύμφωνα δὲ, τά τε ἀντίφωνα καλούμενα, οἷον τὸ διὰ πασῶν* [s. ob. §. 267.] *καὶ τὸ δὶς διὰ πασῶν. καὶ τὰ παράφωνα· οἷον τὸ διὰ πέντε καὶ τὸ διὰ πασῶν καὶ διὰ πέντε· καὶ τὰ μόνως* [*μόνῳ* Wall.] *τῷ γενικῷ ὀνόματι σύμφωνα προσαγορευόμενα· οἷον τὸ διὰ τεσσάρων καὶ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων· τά τε γὰρ ἀντίφωνα, σύμφωνά ἐστιν, ἐπειδὰν τὸ ἀντικείμενον τῇ ὀξύτητι βάρος συμφωνῇ· ὁμοίως καὶ τὰ παράφωνα, ἐπειδὰν μήτε ὁμότονον φθέγγηται φθόγγος φθόγγῳ,*

b: Das *Ὁμόφωνον.*

Das Wesen des *Ὁμόφωνον.*

c: Das *Σύμφωνον* oder *Ἀντίφωνον.*

Das Wesen des *Ἀντίφωνον.* — Einzelne *ἀντίφωνα.* — Die Vorzüge des *Ἀντίφωνον* vor dem *Ὁμότονον.* — Die Anwendung des *Ἀντίφωνον* bei dem Vortrage der Gedichte.

Die Mannichfaltigkeit der Mittel, das *Ἀντίφωνον* zu bewirken.

Μέλη ἀντίσπαστα und *ἀντίφθογγα.*

μήτε διάφωνον, ἀλλά παρά τι γνώριμον τῷ λόγῳ διάστημα: v. Meibom. ad Gaud. p. 34 sq. — Plat. Phileb. p. 17 C. — Porphyr. I, 7, p. 15. — Bindesböll de usu et significatione voc. *ἁρμόζειν* dissert. 8. Hafn. 1829. Bojesen. l. c. p. 88. — Aristot. Problemm. XIX, 39: *συμφωνία δὲ πᾶσα ἡδίων ἁπλοῦ φθόγγου (δι' ἃ δὲ, εἴρηται), καὶ τούτων ἡ διὰ πασῶν ἡδίστη.* — Aristid. de Mus. I, p. 29: *μίξις δὲ, δι' ἧς ἤτοι τοὺς φθόγγους ἀλλήλοις, ἢ τοὺς τόπους τῆς φωνῆς ἁρμόζομεν.* — b: Gaudent. Harm. Introd. 11: *τῶν δὲ ἐμμελῶν* [s. ob. §. 265, B, a.] *φθόγγων οἱ μὲν εἰσιν ὁμόφωνοι, οἱ δὲ σύμφωνοι, οἱ δὲ παράφωνοι. ὁμόφωνοι μὲν εἰσιν, οἱ μήτε βαρύτητι μήτε ὀξύτητι διαφέροντες ἀλλήλων:* s. ob. a. — Gaudent. Int. Harm. 11: *σύμφωνοι δὲ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων ἀεὶ τὸ μέλος τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ καὶ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτὸ ᾖ· ὅταν οἱονεὶ κρᾶσις ἐν τῇ προφορᾷ δυοῖν φθόγγοιν καὶ ὥσπερ ἑνότης παρεμφαίνηται· τότε γὰρ συμφώνους εἶναί φαμεν αὐτούς:* Hesych. s. *ἀντίφωνα· ἐναντιόφωνα:* Bojesen l. c. p. 80. — Aristot. Probll. XIX, 13: *διὰ τί ἐν τῇ διὰ πασῶν τοῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ βαρὺ, τούτου δὲ τὸ ὀξὺ οὔ; ἢ ὅτι μάλιστα μὲν ἐν ἀμφοῖν ἐστὶ τὸ ἀμφοῖν μέλος, εἰ δὲ μὴ, ἐν τῷ βαρεῖ· μεῖζον γάρ.* — Aristot. Probll. XIX, 16: *διὰ τί ἥδιον τὸ ἀντίφωνον τοῦ συμφώνου; ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ; ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν, ὥστε δύο πρὸς μίαν φωνὴν γινόμεναι ἀφανίζουσι τὴν ἑτέραν.* — Aristot. Probll. XIX, 39: *διὰ τί ἥδιόν ἐστι τὸ σύμφωνον τοῦ ὁμοφώνου; ἢ καὶ τὸ μὲν ἀντίφωνον σύμφωνόν ἐστι διὰ πασῶν; ἐκ παίδων γὰρ νέων καὶ ἀνδρῶν* [s. ob. §. 223, 2.] *γίνεται τὸ ἀντίφωνον, οἳ διεστᾶσι τοῖς τόνοις ὡς νήτη πρὸς ὑπάτην. συμφωνία* [s. ob. §. a.] ... *ἡδίστη· τὸ ὁμόφωνον δὲ ἁπλοῦν ἔχει φθόγγον· μαγαδίζουσι δὲ ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὅτι καθάπερ ἐν τοῖς μέτροις οἱ πόδες ἔχουσι πρὸς αὐτοὺς λόγον ἴσον πρὸς ἴσον ἢ δύο πρὸς ἓν, ἢ καί τινα ἄλλον* [s. ob. §. 51.], *οὕτω καὶ οἱ ἐν τῇ συμφωνίᾳ φθόγγοι λόγον ἔχουσι κινήσεως πρὸς αὐτούς.* — Aristot. l. c. XIX, 21: *διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον ᾄδοντες τῶν ὀξὺ ᾀδόντων, ἐὰν ἀπᾴδωσι, μᾶλλον κατάδηλοι* [s. ob. §. 223, 2, c.] *γίνονται; ὁμοίως δὲ καὶ τῷ ῥυθμῷ οἱ ἐν τῷ βαρυτέρῳ πλημμελοῦντες κατάδηλοι μᾶλλον· πότερον ὅτι πλείων ὁ χρόνος ὁ τοῦ βαρέος, οὗτος δὲ μᾶλλον αἰσθητός; ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω αἴσθησιν παρέχει, τὸ δὲ ταχὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ τάχος:* Aristot. de Anima II, c. 8, 8: *ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδ' ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ. ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολὺ, τὸ δὲ βαρὺ ἐν πολλῷ ἐπ' ὀλίγον. οὐ δὴ ταχὺ τὸ ὀξὺ, τὸ δὲ βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ διὰ βραδύτητα:* O. Mueller Handb. d. Archaeol. p. 8. Trendelenb. ad Aristot. de Anima II, 8, p. 388. Bojesen l. c. p. 89 sq. — S. ob. §. 283, *β.* 289, c, a: s. unt. §. . —

d: Das *Διάφωνον.*
Das Wesen des *Διάφωνον.*

e: Das *Παράφωνον.*
Das Wesen des *Παράφωνον.* — Unterschied des *Παράφωνον* von den übrigen Consonanzen hinsichtlich seiner Anwendung in der Poesie.
Die Erweiterung der Hellenischen Harmonie durch die *Παράφωνα.*

f: Die Art der Symphonie erläutert an des Pindaros erster Olympischer Ode.
Das *γένος διάτονον* in Dorischer Tonart.

Ὑπάτη.	*παρυπάτη.*	*λιχανός.*	*μέση.*	*παραμέση.*	*τρίτη.*	*παρανήτη.*	*νήτη.*
a	b	$\bar{c}$	$\bar{d}$	$\bar{e}$	$\bar{f}$	$\bar{g}$	$\bar{a}$

Das *γένος διάτονον* in Aiolischer Tonart.

Ὑπάτη.	*παρυπάτη.*	*λιχανός.*	*μέση.*	*παραμέση.*	*τρίτη.*	*παρανήτη.*	*νήτη.*
$\bar{c}$	$\bar{d}$	$\bar{d}$is	$\bar{f}$	$\bar{g}$	$\bar{g}$is	$\bar{b}$	$\bar{\bar{c}}$

g: Schlufsbemerkungen.
α: Der Einflufs der Symphonie auf die Behandlung der Metra und der Tonarten. — Die Lydischen Oden bei Pindaros.
β: Die Einwirkung der Symphonie auf die einzelnen Theile der Harmonik.

---

d: Gaudent. Harm. Intr. 11: *διάφωνοι δὲ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων, οὐδέν τι φαίνεται τοῦ μέλους εἶναι τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ ἢ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτό· ἢ ὅταν μηδεμίαν κρᾶσιν πρὸς ἀλλήλους ἐμφαίνουσιν ἅμα προφερόμενοι.* — e: Gaudent. l. c.: *παράφωνοι μὲν οἱ μέσοι μὲν συμφώνου καὶ διαφώνου, ἐν δὲ τῇ κρούσει φαινόμενοι σύμφωνοι, ὥσπερ ἐπὶ τριῶν τόνων φαίνεται, ἀπὸ παρυπάτης μέσων ἐπὶ παραμέσην. καὶ ἐπὶ δύο τόνων, ἀπὸ μέσων διατόνου ἐπὶ παραμέσην:* v. Boeckh. M. P. 254. — Aristot. Probll. XIX, 18: *διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγαδίζουσι* [s. unt. §. 357, c.] *γὰρ ταύτην, ἄλλην δὲ οὐδεμίαν· ἢ ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν, ἐν δὲ τοῖς ἀντιφώνοις καὶ τὴν ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ; ἡ γὰρ μία τρόπον τινὰ τὰς ἀμφοτέρων ἔχει φωνάς, ὥστε καὶ μιᾶς ᾀδομένης ἐν ταύτῃ τῇ συμφωνίᾳ ᾄδεται ἡ συμφωνία, καὶ ἄμφω ᾄδοντες· ἢ τῆς μὲν ᾀδομένης τῆς δὲ αὐλουμένης ὥσπερ μίαν ἄμφω ᾄδουσιν· διὸ μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς φωνὴν τὰ ἀντίφωνα.* — f: Boeckh. M. P. 256: G. Herm. Opuscc. VI, 1, 50. — g, α: Boeckh. M. P. 278. — β: Cic. Orat. III, 25, 98: *quanto molliores sunt et delicatiores in cantu flexiones et falsae voculae quam certae et severae? quibus tamen non modo austeri, sed, si saepius fiunt, mul-*

Die Künstlichkeit der Hellenischen Musik.

Das Uebertreiben der Kunst in dem Gesange. — Die Dithyrambiker. — Triller und dergleichen.

γ: Das Zusammenwirken der einzelnen Theile der Musik zu einem Ganzen.

III. Der Dialekt in den Lyrischen Gedichten der Hellenen.

§. 355. A. Allgemeine Vorerinnerungen.

a: Nähere Bestimmung des Standpunktes für die Behandlung des Dialekts an dieser Stelle.

Der Einfluſs der Musikalischen Composition auf die Wahl des Dialekts.

Der Charakter der Vocale. — Die Tonarten.

b: Blick auf die Dialekte des Hellenischen Volkes.

c: Die Behandlung der Dialekte durch die Alexandriner und die spätern Grammatiker.

Tryphon. — Gregorios.

§. 356. B. Der Dialekt in den verschiedenen Gattungen der Poesie.

1. Der Dialekt im Epos und in der alten Elegie.

Wichtigkeit der Behandlung des Dialekts in Epos und Elegie hinsichtlich der später entstandenen Gattungen der Poesie.

2. Der Dialekt in der Aiolischen Lyrik.

Die Subjectivität der Aiolischen Lyrik und Einfluſs derselben auf den Dialekt.

Der aus der musikalischen Behandlung und Ausbildung des Aiolischen Dialekts sich ergebende Fortschritt in Rücksicht auf die Poesie.

---

titudo ipsa reclamat: Pherecr. *Χείρων.* fr. I Mein., vs. 13: *Κινησίας* [s. ob. §§. 18. 257 flgg.] *δέ μ' ὁ κατάρατος Ἀττικός Ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς Ἀπολώλεχ' οὕτως, ὥστε τῆς ποιήσεως Τῶν διθυράμβων, καθάπερ ἐν τοῖς ἀσπίσιν, Ἀριστέρ' αὐτοῦ φαίνεται τὰ δεξιά:* v. Hanov. Exercitt. Critt. in Comicc. Grr. I, p. 48 sq. Meinek. Comm. Grr. Frr. II, p. 328. — *γ:* s. ob. §§. 1 flgg.

§. 355, A, a: s. ob. §. 61. — b: Leutsch Grundriſs f. Griech. LG. §. 7 folgg. — Giese üb. den Aeolischen Dial. p. 23. Ahrens. de Gr. ling. Dial. I, p. 5. — Suid. s. *Τρύφων, ... περὶ πλεονασμοῦ τῶν ἐν τῇ Αἰολίδι διαλέκτων, βιβλία ζ'. Περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς. Περὶ τῆς Ἑλλήνων διαλέκτου, καὶ Ἀργείων καὶ Ἱμεραίων καὶ Ῥηγίνων καὶ Δωριέων καὶ Συρακουσίων:* v. Kuster. ad h. l., sup. §. 33. — Petzholdt ad Aphthon. Progymn. praef. p. XVII sqq. —

§. 356, B, 1: s. ob. §. 203 flgg. — 2: s. ob. §§. 11. 204. 295. — Ahrens de

3. **Der Dialekt und seine künstliche Behandlung in der Dorischen Lyrik.**
   - a: Die Wichtigkeit des Pindaros.
   - b: Die Ansichten der alten Grammatiker vom Dialekte des Pindaros.
   - c: Die Ansichten der Neuern.
   - d: Die Bestandtheile des Dialektes in des Pindaros Gedichten im Allgemeinen.
     - α: Der Epische Bestandtheil.
       Die Abweichungen vom Epischen Dialekte.
     - β: Der den bestehenden Dialekten entnommene Bestandtheil.
       Das Dorische. — Das Aiolische. — Seltne Formen.
   - e: Die Modificationen des Pindarischen Dialekts im Einzelnen.
     - α: Die die Wahl des Dialekts bedingenden Umstände.
     - β: Der Einfluſs der musikalischen Composition.
       Die Tonarten. — Die Dorischen, Aiolischen, Lydischen Oden.

---

graecae ling. dialectis T. I, p. 7 sqq. — 3, b: Greg. Cor. de Dial. p. 12 Schaef.: *κοινὴ* [sc. *διάλεκτος*] *δέ, ᾗ πάντες χρώμεθα καὶ ᾗ ἐχρήσατο Πίνδαρος, ἤγουν ἡ ἐκ τῶν δ̄ συνιστῶσα*: v. ibid. p. 627. 643: id. p. 371 Schaef.: *καὶ ταῦτα μὲν περὶ τῆς Δωρίδος. Διαφέρει δὲ ἡ τῶν Κρητῶν διάλεκτος, ἧπερ Κυψέλας ἐχρήσατο, καὶ ἡ τῶν Λακώνων, ἧπερ Ἀλκμὰν καὶ Σώφρων ἐστοίχησαν. ἡ μέντοι Πινδάρου καὶ Σιμωνίδου καὶ Βακχυλίδου παντελῶς ἀνεῖται, διὰ τὸ μὴ Δωριεῖς εἶναι φύσει τοὺς ποιητάς, ἔχει δὲ μόνην αὐτοῖς τὴν διάλεξιν*: s. unt. d, β. f, s. — c: G. Herm. de Dialecto Pind. Obsevv. in Opuscc. T. I, p. 245. Boeckh. M. P. 288: vrgl. Giese der Aeol. Dial. p. 60 flgg. — d, β: Eustath. ad Hom. Odyss. *Λ*, 592, p. 1702, 5: *ὡς δὲ οἱ Δωριεῖς ἔχαιρον καὶ αἰολίζοντες, δηλοῖ Πίνδαρος, ἀναμὶξ οὕτω ποιῶν, ἤτοι Δωρικῶς γράφων καὶ Αἰολικῶς*: Suid. s. *Πίνδαρος*: .·. *ἔγραψε δὲ βιβλίοις ιζ΄, Δωρίδι διαλέκτῳ, ταῦτα*. — Aristid. Quint. de Music. II, p. 92: *τῶν δὲ διχρόνων ἐς μελῳδίαν κράτιστον τὸ ᾱ· εὐφυὲς γὰρ διὰ πλάτος τῆς ἠχήσεως* [s. ob. §. 354, c.] *ἐς μακρότητα, τὰ δὲ λοιπὰ διὰ λεπτότητα οὐχ οὕτως ἔχει. ἔστι δέ τινα κἀν τούτοις ἰδεῖν μεσότητα· τὸ μὲν γὰρ ᾱ κοινωνίαν τε ἔχον καὶ ἀντιπάθειαν πρὸς τὸ η̄, εἰ μὲν ἐς ἀντίστροφον χρείαν ἐκείνου παραλαμβάνεται, πέφυκεν ἄῤῥεν· εἰ δὲ τὴν ὁμοίαν ποιεῖται σημασίαν, τεθήλυνται. δηλοῦσι δὲ τοῦτο· καὶ αἱ τῶν διαλέκτων ἀλλήλαις ἀντιπεπονθυῖαι, τῇ τῶν ἐθνῶν ἀναλόγως ἐναντιοτροπίᾳ, ἡ Δωρίς τε καὶ Ἰάς· ἡ μὲν γὰρ Δωρὶς τὴν θηλύτητα φεύγουσα τοῦ η̄, τρέπειν αὐτῆς τὴν χρῆσιν ὡς ἐς ἄῤῥεν, τὸ ᾱ, νενόμικεν· ἡ δὲ Ἰάς, τὸ στερεὸν ὑποστελλομένη τοῦ ᾱ, καταφέρεται πρὸς τὸ η̄. τὸ δὲ* [ᾰ add. Meib. p. 298.] *θῆλυ μὲν ἐστι κατὰ τὸ πλεῖστον, ὡς προείρηται· τὸ δὲ* [ι addit Meib. l. c.] *τὸν ὅμοιον ἦχον ἐπιφέρουν, εἰ ἐκταθείη τῇ αῑ διφθόγγῳ, γραφομένῃ διὰ τοῦ ᾱ, ἐπ᾽ ἐλάχιστον ἠῤῥένωται*. — e, β: Boeckh. M. P. 292. —

f: **Die Anwendung und Bestätigung der aus Pindaros Behandlung des Dialekts entnommenen Grundsätze auf und durch die übrigen Dorischen Lyriker.**

α: Vergleichung zwischen Simonides und Pindaros. — Bakchylides.

Die Formen. — Der Hiatus. — Die Productionen und Correptionen. — Die Synizesis. — Die Elision. — Die Krasis.

β: Stesichoros. — Ibykos. — Korinna.

4. **Der Dialekt im Drama.**

a: Der Dialekt im Dialoge des Drama.

b: Der Dialekt in den Lyrischen Partien der Tragödie.

α: **Der Dorismus.**

a: Die anapaistischen Parthien der Tragödie.

b: Die Chorgesänge.

c: Die *Κόμμοι*.

β: **Die von den Tragikern in Anwendung des Dorismos befolgten Gesetze.**

a: Nähere Bestimmung des Umfangs des Dorismos in der Attischen Tragödie.

Der Dorismos in den Wurzeln der Worte. — Das Dorische in der Flexion der Nomina und Verba.

b: Der Einfluſs des Musikalischen auf die Wahl des Dialekts. — Die Tonarten.

c: Der Unterschied in Behandlung des Dialekts zwischen Aischylos, Sophokles und Euripides.

c: **Der Dialekt in den Lyrischen Partien der Komödie.**

Der Unterschied zwischen Tragödie und Komödie.

---

f: Grammat. Leidens. ad calc. Gregor. Corinth. p. 635 Schaef.: *κέχρηνται δὲ αὐτῇ* [sc. *τῇ δωρίδι*] *Ἀλκμὰν, Στησίχορος, Ἴβυκος, Βακχυλίδης, Ἐπίχαρμος· ἡ δὲ χρῆσις αὐτῆς κατὰ διαφορὰν θεωρεῖται.* — α: Cf. Schneidew. ad Simon. Reliqq. Prolegg. p. XLII sqq. — Neue ad Bacchyl. frr. p. 8. — S. ob. §. 74. — S. ob. §. 108. — β: Suid. s. *Στησίχορος· .. γέγονε δὲ λυρικός· καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις κϛ'*: s. ob. §§. 12. 204: Klein. ad Stesich. frr. p. 46. — Suid. s. *Ἴβυκος· .. ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ' τῇ Δωρίδι διαλέκτῳ*: Schneidew. ad Ibyci Reliqq. p. 61 sqq. — Schneidew. Delect. Poett. Lyricc. p. 431. — 4, a: s. ob. §§. 67, 2. 89, 1. — b, α, a: s. ob. §. 118, C, e, p. 127. — β: Ellendt. Lex. Sophocl. T. II, praef. p. XIII. —

IV. Die Begleitung der Gedichte durch die Instrumente.

§. 357. A: Die Stellung der Organik zu den andern bei der Darstellung poetischer Kunstwerke thätigen Künsten.

a: Das Vorherrschen der menschlichen Stimme.
Die Poetik die erste der musischen Künste.

b: Die Beschaffenheit und Eintheilung der Instrumente im Allgemeinen.

B: Die Saiteninstrumente.

a: Die Epochen in der Ausbildung der Saiteninstrumente.
Die älteste Zeit. — Homeros. — Die Ausbildung der Lyrik. — Die musikalischen Sekten.

b: Die verschiedenen Arten der Saiteninstrumente bei den alten Hellenen.
Die Kithara. — Die Lyra. — Die Frage nach der Verschiedenheit von Kithara und Lyra.

---

§. 357, A, a: s. ob. §. 351, c: Pind. Ol. II, 1: *ἀναξιφόρμιγγες ὕμνοι*, wo Schol.: *οἱ τῆς φόρμιγγος ἀνάσσοντες· πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται*: s. ob. §. 255, e: v. Boeckh. trag. Gr. princc. p. 89, id. M. P. 258. — S. ob. §§. 1. 2. — b: s. ob. §. 6, B: add. Drieberg Aufschlüsse üb. d. Musik der Griechen. 4. 1819. Krueger. de musicis Graecorum organis diss. 4. Gotting. 1830. — B, a: s. ob. §§. 267 flgg. — S. ob. §. 6, B. — S. ob. §§. 8 flgg. — S. ob. §. 24. — b: Poll. Onom. IV, 59: *τῶν μὲν οὖν κρουομένων εἴη ἂν λύρα, κιθάρα, βάρβιτον· τὸ δ' αὐτὸ καὶ βαρύμιτον* [*βάρμιτον* Bergk. Anacr. frr. p. 250.], *χέλυς, ψαλτήριον, τρίγωνα, σαμβῦκαι, πηκτίδες, φόρμιγγες, φοῖνιξ, σπάδιξ, λυροφοινίκιον, κλεψίαμβος, παρίαμβος, ἰαμβύκη, σκινδαψός, ἐπιγόνειον καὶ τὰ λοιπά*: s. unt. §. 358, e: id. IV, 62: *μέρη δὲ τῶν ὀργάνων, νευραί, χορδαί, λίνα, μίτοι, τόνοι, πῆχυς, ἀγκῶνες, κέρατα, κόλλοπες, πήχεια, πλῆκτρον, χορδότονον. καὶ δόνακα δέ τινα ὑπολύριον οἱ κωμικοὶ* [Arist. Ran. 232.] *ὠνόμαζον, ὡς πάλαι ἀντὶ κεράτων ὑποτιθέμενον ταῖς λύραις. ὅθεν καὶ Σοφοκλῆς εἴρηκεν* [fr. 34. Dind.], *ὑφῃρέθη σου κάλαμος ὡσπερεὶ λύρας· οἱ δὲ τεχνῖται, λυρῳδοί, κιθαρῳδοί, κιθαρισταί, καὶ κιθαρίστριαι* [s. unt. §. 358, d, *α*.], *ψάλται, ψάλτριαι. Καὶ τὰ ῥήματα, λυρίζειν, κιθαρίζειν, ψάλλειν· καὶ ὡς Ἀριστοφάνης* [fr. 594 Dind.], *βαρβιτίζειν. καὶ κρέκειν δέ, καὶ κρεγμός, τὸ πρᾶγμα* [s. unt. §. 358, f.]. *προςᾴδειν, ἐπᾴδειν, ὑπᾴδειν, συνᾴδειν, ἀπᾴδειν. κρούματα, πρόςχορδα ᾄσματα, πολύχορδον, ἁρμονία, ἐναρμόνιον, παναρμόνιον, πολυαρμόνιον, ἀνάρμοστον, ἀναρμοστία, ἀναρμοστεῖν, διαναρμοστεῖν, ῥυθμός, ἄῤῥυθμος, ἀῤῥυθμεῖν· καὶ γὰρ Πλάτων ἔστιν οὗ ὀνομάζειν δοκεῖ, ὥσπερ καὶ Κριτίᾳ, τὰς πρὸς κιθάραν ᾠδάς, προςῳδίας ἀρέσκει καλεῖν*. — S. ob. §. 6, B. — S. ob. §. 266, C, a. b: Burette Mem. de l'Acad. d. Inscript. T. IV, p. 116. Boeckh. M. P. 260. Drieberg Aufschl. üb. d. Musik d. Griechen p. 38: s. unt. c, *β*, a: §. 358, d, *α*. —

c: **Die Lyra nebst ihren Unterarten.**

α: **Das Wort *Λύρα*. — Die Gestalt der Lyra. — Der Ton der Lyra. — Die Zahl der Saiten. — Der Umfang der Lyra. — Die Verbindung der Lyra mit dem Gesange.**

β: **Die Unterarten der Lyra.**

a: **Das Barbiton.**

Das Wort und seine Formen.

Die Erfindung der *βάρβιτος*. — Das Alter der *Βάρβιτος*. — Die Barbaren. — Die Lesbier.

Terpandros. — Alkaios. — Sappho. — Anakreon.

Die höhere Lyrik. — Simonides.

---

c, α: Anon. ap. Boisson. Anecdd. T. IV, p. 459: *λύρα τοίνυν προςηγορεύθη διὰ τὸ λύθρον ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ· „λύρα βοῶν ῥύσα* [*λύρᾳ* und *ῥύσια* vermuthet Boiss.] *ἐξεῤῥύσατο*: Schol. ad Nic. Alexiph. 557. — Hesych. s. *Λύρα· κιθάρα*: Suid. s. *κιθάρα· ἡ λύρα·* — Lucian. Dial. Mar. I, §. 4: *καὶ αὐτὴ δὲ ἡ πηκτὶς οἵα; κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν· καὶ τὰ μὲν κέρατα πήχεις ὥσπερ ἦσαν· ζυγώσας δὲ αὐτὰ καὶ ἐνάψας τὰ νεῦρα οὐδὲ κόλλοπι περιστρέψας, ἐμελῴδει ἄμουσόν τι καὶ ἀπῳδὸν, ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ ἡ λύρα ὑπήχει.* — Aristid. Quint. de Mus. II, 101: *πάλιν ἐν τοῖς κατατεινομένοις* [*ὀργάνοις*] *τὴν μὲν λύραν ἐστὶν εὑρεῖν πρὸς τὸ ἄῤῥεν ἀναλογοῦσαν διὰ τὴν πολλὴν βαρύτητα καὶ τραχύτητα.* — S. ob. §. 266, C. — β, a: Etym. M. 188, 17: *βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον ἢ κιθάρα· εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν, ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς· μίτους γὰρ τὰς νευρὰς ἔλεγον· ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λινοῖς στήμοσιν ἐκέχρηντο· ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ διὰ τοῦ μ φασί*: v. Neue ad Sapph. frr. p. 11; Strab. X, 3, 17, p. 471: *καὶ τῶν ὀργάνων ἔνια βαρβάρως ὠνόμασται· νάβλας καὶ σαμβύκη καὶ βάρβιτος καὶ μάγαδις καὶ ἄλλα πλείω.* — Aristot. Polit. VIII, 6, 7: *ὁμοίως δὲ καὶ πολλὰ τῶν ὀργάνων τῶν ἀρχαίων οἷον πηκτίδες καὶ βάρβιτοι καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα τοῖς ἀκούουσι τῶν χρωμένων, ἑπτάγωνα καὶ τρίγωνα καὶ σαμβύκαι καὶ πάντα τὰ δεόμενα χειρουργικῆς ἐπιστήμης.* — Athen. XIV, 635 D: s. ob. §. 289, c, α. — Athen. IV, 182 E: *Εὐφορίων δὲ ὁ ἐποποιὸς ἐν τῷ περὶ Ἰσθμίων* [Mein. p. 82.] *„οἱ νῦν (φησὶ) καλούμενοι ναβλισταὶ καὶ πανδουρισταὶ καὶ σαμβυκισταὶ καινῷ μὲν οὐδενὶ χρῶνται ὀργάνῳ· τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι*: id. XIV, 636 B: *καὶ Φίλλις δ' ὁ Δήλιος* [s. ob. §. 28.] *ἐν δευτέρῳ περὶ μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος* [s. unt. b, p. 345.], *λέγων οὕτως „Φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι, ἰαμβύκαι, τρίγωνα, κλεψίαμβοι, σκινδαψοί, ἐννεάχορδα. ἐν οἷς γὰρ (φησὶ) τοὺς ἰάμβους ᾖδον* [s. ob. p. 334, b, β.], *ἰαμβύκας* [s. unt. f.] *ἐκάλουν· ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν τοῖς μέτροις, κλεψιάμβους· μαγάδιδας δὲ τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα. καὶ γὰρ βάρβιτος ἢ βάρμος· καὶ ἄλλα πλείονα, τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα, κατεσκεύαζον.* — Athen. IV, 175 D: *καὶ τὸ τρίγωνον* [s. unt. b.] *δὲ καλούμενον ὄργανον Ἰόβας ἐν τετάρτῳ θεατρικῆς ἱστορίας Σύρων εὕρημά φησιν εἶναι, ὡς καὶ*

τὸν καλούμενον λυροφοίνικα [*συροφ.* O. Muell. ad Fest. p. 324.] *σαμβύκην* [s. unt. f.]· *τοῦτο δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς* [Marquardt Kyzikos p. 167.] *ἐν πρώτῳ Ὥρων εὕρημα εἶναι λέγει Ἰβύκου τοῦ Ῥηγίνου ποιητοῦ, ὡς καὶ Ἀνακρέοντος τὸ βάρβιτον*: Simonid. Epigr. CLXXI [98] Schneidew., vs. 9: *μολπῆς δ᾽ οὐ λήγει* [*Ἀνακρέων*] *μελιτερπέος, ἀλλὰ τὸ κλεινὸν Βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ*: Suid. s. *βάρβιτον*. Bergk. ad Anacr. frr. p. 250 sqq. — Eurip. Alcest. 346. Cycl. 40. — Aristoph. Thesmoph. 137. — Dionys. Halic. Antiqq. Rom. VII, 72, p. 1487 R.: *οἷς παρηκολούθουν αὐληταὶ ... καὶ κιθαρισταὶ λύρας ἑπταχόρδους* [s. ob. §§. 266 flgg.] *ἐλεφαντίνας καὶ τὰ λεγόμενα βάρβιτα κρέκοντες. ὧν παρὰ μὲν Ἕλλησιν ἐκλέλοιπεν ἡ χρῆσις ἐπ᾽ ἐμοῦ, πάτριος οὖσα· παρὰ δὲ Ῥωμαίοις ἐν ἁπάσαις φυλάττεται ταῖς ἀρχαίαις θυηπολίαις.* — Horat. Carm. I, 1, 34. 32, 4. Ovid. Metam. XI, 167. — Theocr. Id. XVI, 44: *εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων Βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ᾽ ὀνομαστοὺς Ὁπλοτέροις*: Acron ad Hor. Carm. I, 1, 34: *Lyram dictam a sono. Dion etiam libro septimo Citharoedi, inquit, Lyras septichordes eburneas, quae barbita dicuntur, tendentes, quorum usus obsolevit aetate mea.* — Schol. ad Eurip. Alcest. 357: *βαρβίτου] εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος, βαρυτέρας ἔχων τὰς χορδάς. καὶ ἐστὶν οἱονεὶ βαρύμιτός τις ὤν.* — b: Phot. Lex. p. 601 angl.: *τρίγωνος: ἀῤῥενικῶς· μουσικὸν ὄργανον ψαλτηρίῳ τὴν ἐξάρτησιν ὁμοίαν ἔχον*: Etym. Magn. 766, 14: Hesych. s. *τρίγωνον· εἶδος ὀργάνου ψαλτηρίου* [v. Casaub. ad Athen. IV, 183 C.]· *ἢ φυτὸν ἐν Αἰγύπτῳ*: Bekk. Anecdd. I, 309, 25: *τρίγωνον· ὄργανον μουσικόν. σημαίνει δὲ καὶ δικαστήριον.* — S. ob. a: Ptolem. Harm. III, 7, p. 138 Wall.: *δοκεῖ δέ μοι καὶ τὸ τοὺς θεοὺς μετὰ μούσης τινὸς ἐπικαλεῖσθαι καὶ μελῳδίας, οἷον ὕμνων τε, καὶ αὐλῶν, ἢ τῶν Αἰγυπτιακῶν τριγώνων, ἐμφαίνειν, ὅτι μετὰ πραότητος εὐμενοῦς ἐπακούειν αὐτοὺς προκαλούμεθα τῶν εὐχῶν.* — Etym. Magn. 715, 53: *σκαληνόν, σκολιόν, πολύγωνον· τοῦ γὰρ τριγώνου εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν*: Porphyr. ad Ptolem. p. 217: *οἵ γε τοι παλαιοὶ τὸ τρίγωνον ἐξ ἀνίσων τοῖς μήκεσι χορδῶν ἐποίησαν· μακροτάτης μὲν τῆς πασῶν ἐξωτάτω, ὑποδεεστέρας δὲ ταύτης τῆς πλησίον· τῶν δ᾽ ἔτι ἐνδοτέρων καὶ πρὸς τῇ γωνίᾳ τοῦ ὀργάνου καθημένων, κολοβωτέρων τοῖς μήκεσιν· ἰσοπαχεῖς δ᾽ ἐποίουν τὰς χορδάς· οὐ γὰρ ᾔδεισάν πω τὰς τῶν παχέων διαφοράς. Διὸ καὶ συνέβαινε τὰς μὲν μικροτέρας χορδὰς πληττομένας ὀξύτερον ἀποτελεῖν τὸν φθόγγον· τὰς δὲ μακροτέρας, βαρύτερον. Ἐπὶ μὲν γὰρ τῶν μακροτέρων χορδῶν, βραδεῖά τε γίνεται ἡ ἀντίστασις· ... ἐπὶ δὲ τῶν βραχυτέρων χορδῶν, ταχεῖα γίνεται ἥ τε πλῆξις καὶ ἡ ἀποκατάστασις*: Don. Lyr. Barber. 19. Forkel Gesch. der Musik I, p. 419. —

Der Gebrauch des Trigonon in der Poesie.
Die Urtheile der Alten über den Gebrauch des Trigonon.
c: Die Magadis.
Das Wort und seine Formen.
Die verschiedenen Ansichten der Alten über das Vaterland der Magadis. — Die Lyder. — Die Thraker.
Die Streitfragen bei den Alten über die Magadis als Saiten- und als Blasinstrument.
Die Magadis als Saiteninstrument.
Die Hellenische Ausbildung der Magadis. — Terpandros. — Sappho. — Anakreon.
Der Gebrauch der Magadis in der Hellenischen Poesie. — Alkman.

Athen. IV, 183 E: *Ἀλέξανδρος δ' ὁ πολίτης μου, οὗτος δ' οὐ πρὸ πολλοῦ τετελεύτηκε, δημοσίᾳ ἐπιδειξάμενος ἐν τῷ τριγώνῳ ἐπικαλουμένῳ ὀργάνῳ οὕτως ἐποίησε πάντας Ῥωμαίους μουσομανεῖν ὡς τοὺς πολλοὺς καὶ ἀπομνημονεύειν αὐτοῦ τὰ κρούσματα. μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς* [fr. 361 G. Dind.] *οὕτως· Πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος* [s. unt. b.] *συγχορδία· καὶ ἐν Θαμύρᾳ· Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι* [fr. 38 G. Dind.] *καὶ Θεόπομπος ἐν Πηνελόπῃ· Εὔπολις δ' ἐν Βάπταις φησὶν Ὃς καλῶς μὲν τυμπανίζει Καὶ διαψάλλει τριγώνοις* [fr. 1 Mein.]: Plat. Reip. III, 399 C: *οὐκ ἄρα, ἦν δ' ἐγώ, πολυχορδίας γε οὐδὲ παναρμονίου ἡμῖν δεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν· Οὔ μοι, ἔφη, φαίνεται. Τριγώνων ἄρα καὶ πηκτίδων καὶ πάντων ὀργάνων, ὅσα πολύχορδα καὶ πολυαρμόνια, δημιουργοὺς οὐ θρέψομεν; Οὐ φαινόμεθα. Τί δέ; αὐλοποιοὺς ἢ αὐλητὰς* [s. unt. §. 361, D.] *παραδέξει εἰς τὴν πόλιν; ἢ οὐ τοῦτο πολυχορδότατον, καὶ αὐτὰ τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα μιμήματα* [s. unt. §. 361 D.]; *Δῆλα δή, ἦ δ' ὅς*: Plutarch. de unius in republ. dom. c. 4, p. 826: *ἤδη μέντοι συμβούλῳ Πλάτωνι χρησάμενος, πηκτίδας, σαμβύκας καὶ ψαλτήρια πολύφθογγα καὶ βαρβίτους καὶ τρίγωνα παραπέμψας, τὴν λύραν καὶ τὴν κιθάραν προτιμήσει.* — c: *Μάγαδις*: Poll. Onom. IV, 61: *μαγάδην* [vulg. *μάγαδιν*: codd. *μαγάδιν* et *μαγάδην*: v. Seber. et Jung. ad h. l.] *δ' ὀνομάζει μὲν Ἀνακρέων· τὴν δὲ εὕρεσιν αὐτῆς Κάνθαρος* [v. Suid. s. v., Meinek. Comicc. Grr. frr. I, 251.] *Θρᾳξὶ* [s. unt.] *προςτίθησιν*: Hesych. *μαγάδεις: αὐλοὶ κιθαριστήριοι* [s. ob. §. 9.] *ὄργανον ψαλτικόν· ὅθεν καὶ τὸ ψάλλειν Μαγάζειν* [sic] *λέγουσιν*: id. *μαγάδιον· ὡραῖον κιθάρισμα*: id. *μαγαλίδες· ὄργανα ψαλτικά*, ubi v. Albert.: Phot. Lex. p. 239: *μάγαδις· ψαλτικὸν ὄργανον· οὕτω Σοφοκλῆς*: v. G. Dind. ad Athen. XIV, 634 C. Bergk. ad Anacr. frr. p. 86. — Athen. XIV, 634 F: *ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων* [s. unt.] *φησί, Λυδῶν τε εὕρημα· διὸ καὶ τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ* [fr. 7 Nieberd.] *διὰ τούτων Ἀλλ' εἶα, Λυδαὶ ψάλτριαι, παλαιθετῶν Ὕμνων ἀοιδοὶ τὸν ξένον κοσμήσατε· Θεόφιλος δ' ὁ κωμῳδιοποιὸς* [v. Meinek. Comicc. Grr. frr. I, p. 434.] *ἐν Νεοπτολέμῳ καὶ τὸ τῇ μαγάδι* [*μαγάς*: v. Hesych. s. v., Cyrill. ap. Schow. Hesych. p. 514 not.] *διαψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα Ἔστι μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους· Οὐδεὶς γὰρ ἡμῶν ταυτὸν ᾄσεται μέλος· Εὐ-*

Die Form der Magadis.
Die Zahl der Saiten auf der Magadis. — Die Verschiedenheit der Zahl der Saiten. — Die Art des Spielens.
Die Stimmung der Saiten.
Der Gebrauch der Magadis in der Chorpoesie.
b: Die Pektis.
Die Ansichten der Alten über die Pektis.
Das Verhältniſs der Pektis zur Magadis.

φορίων [fr. p. 82 Mein.] δ᾽ ἐν τῷ περὶ Ἰσθμίων παλαιὸν μέν φησι τὸ ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ᾽ ὀψέ ποτε καὶ σαμβύκην [s. unt. f.] μετονομασθῆναι. πλεῖστον δ᾽ εἶναι τοῦτο τὸ ὄργανον ἐν Μυτιλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ᾽ ἐν τοῖς περὶ τεχνιτῶν τὴν πηκτίδα [s. unt. b.], ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδι, Σαπφώ φησιν εὑρεῖν [v. Bergk. ad Anacr. frr. p. 86.]. Ἀριστόξενος δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν. διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ τὴν μάγαδιν ὀνομάσαντα ψαλμὸν ἀντίφθογγον [s. ob. p. 336.], διὰ τὸ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε καὶ παίδων [v. lect. γυναικῶν: Boeckh. M. P. 262.]· καὶ Φρύνιχος δ᾽ ἐν Φοινίσσαις εἴρηκε Ψαλμοῖσιν κτλ. [s. ob. §. 283, β.]. καὶ Σοφοκλῆς ἐν Μύσοις Πολὺς κτλ. [s. ob. p. 343.]. — Athen. XIV, 636 F: Δοῦρις δ᾽ ἐν τῷ περὶ τραγῳδίας ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος, Θρᾳκὸς γένος [s. ob. p. 344.]. Ἀπολλόδωρος δ᾽ ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφῇ, ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον [s. ob. b, p. 343.], τοῦτ᾽ εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος [s. unt. §. 358, e.] κληθείς, ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος [s. unt. §. 359, γ, α.] καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε. — Athen. XIV, 634 C: ἀλλὰ μὴν .. πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι, .. περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν· ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που [fr. 5 Bergk.] ψάλλω δ᾽ εἴκοσι [Λυδὸν] Χορδαῖσιν μαγάδην ἔχων, Ὦ Λεύκασπι· σὺ δ᾽ ἡβᾷς [s. Bergk. in Zimmermann. Zeitschr. f. d. Alterthumsw. 1840, N. 103, p. 845.]· Ἴων δ᾽ ὁ Χῖος ἐν Ὀμφάλῃ [fr. 6 Nieb.] ὡς περὶ αὐλῶν λέγει διὰ τούτων· Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς: Boeckh. M. P. 261 sqq. —S. ob. §. 289, p. 313. Plehn. Lesbb. p. 153 sqq. — Athen. XIV, 637 A: καὶ Ἀλκμὰν [fr. 38 Schneidew.] δέ φησι Μάγαδιν δ᾽ ἀποθέσθαι. Σοφοκλῆς δ᾽ ἐν Θαμύρᾳ [fr. 228 G. Dind.] Πηκταὶ δὲ λύραι καὶ μαγάδιδες Τά τ᾽ ἐν Ἕλλησι ξόαν᾽ ἡδυμελῆ. Τελέστης [s. ob. §§. 18. 256 flgg.] δ᾽ ἐν Ὑμεναίῳ διθυράμβῳ πεντάχορδόν φησιν αὐτὴν εἶναι διὰ τούτων· Ἄλλος δ᾽ ἄλλαν κλαγγὰν ἱεὶς Κερατόφωνον ἐρέθιζε μάγαδιν, ἐν Πενταῤῥάβδῳ [Boeckh. M. P. 263.] χορδᾶν ἀριθμῷ Χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος. — b: Πηκτίς: Hesych.: πηκτίς· πανδούριον, ψαλτήριον, σύριγξ, ὄργανον. — Athen. XIV, 635 E: πηκτὶς δὲ καὶ μάγαδις ταυτόν, καθά φησιν ὁ Ἀριστόξενος καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς περὶ τεχνιτῶν· καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος δῆλον: s. ob. p. 313: ibid. 636 A: Διογένης δ᾽ ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος λέγων οὕτως ἐν τῇ Σεμέλῃ Καίτοι κτλ., s. ob.

Der Unterschied zwischen der ursprünglichen und Hellenischen Pektis. — Der Ursprung der Pektis. — Der volksthümliche Gebrauch.
Die Zahl der Saiten. — Die Art des Spielens.
Die Ausbildung der Pektis durch die Sappho.
Der Charakter der Pektis. — Uebereinstimmung des Charakters der Pektis mit dem Charakter der Poesie der Sappho.
Die spätere Zeit.

e, α: Das Epigonion.
Epigonos der Erfinder.
Gestalt, Umfang und sonstige Beschaffenheit des Epigonion.

β: Blick auf den Tripous des Pythagoras von Zakynthos.

---

§. 287, 4, a: das. B: *καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ περὶ μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λέγων οὕτως· Φοίνικες κτλ.*, s. ob. p. 342: v. Plehn. Lesbb. p. 155. — Phot. Lex. p. 427 angl.: *πηκτίς: πανδούριον· ἤτοι Λύδιον ὄργανον, χωρὶς πλήκτρου ψαλλόμενον*: Athen. IV, 182 F: *Ἀριστόξενος δ' ἔκφυλα ὄργανα καλεῖ φοίνικας καὶ πηκτίδας καὶ μαγάδιδας σαμβύκας τε καὶ τρίγωνα καὶ κλεψιάμβους καὶ σκινδαψοὺς καὶ τὸ ἐννεάχορδον καλούμενον*: s. unt. — Clem. Alex. Paedag. II, 4, §. 42, p. 71 Sylb.: *χρῶνται γοῦν παρὰ τοὺς πολέμους αὐτῶν, Τυῤῥηνοὶ μὲν τῇ σάλπιγγι* [s. unt. §. 359, c.], *σύριγγι δὲ Ἀρκάδες, Σικελοὶ δὲ πηκτίσιν καὶ Κρῆτες λύρᾳ.* — Athen. IV, 183 B: *Ἀναξίλας ἐν Λυροποιῷ· Ἐγὼ δὲ βαρβίτους τριχόρδους, πηκτίδας, Κιθάρας, λύρας, σκινδαψὸν ἐξηρτυόμαν. Σώπατρος δὲ ὁ παρῳδὸς ἐν τῷ ἐπιγραφομένῳ Μύσται δίχορδον εἶναί φησι τὴν πηκτίδα λέγων οὕτως Πηκτὶς δὲ Μούσῃ γαυριῶσα βαρβάρῳ Δίχορδος εἰς τὴν χεῖρά πως κατεστάθη.* — Neue ad Sapph. frr. p. 11. — Suid. s. *πηκτίς· πηκτίδος· πανδουρομαχαιρα κρεωκόπος· παρὰ δὲ Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις* [vs. 1218] *εἶδος ὀργάνου κιθαρῳδικοῦ· Τὴν γραῦν ἐρωτᾷς, ἣ 'φερεν τὰς πηκτίδας; ἢ εἶδος ἀκολάστου σχήματος· καὶ ἐν Ἐπιγράμματι* [Anth. Palat. V, 139, 1.], *Ἀδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις.* — S. ob. §. 304, 7. — Schol. Rav. ad Arist. Thesmoph. 1218: *πηκτὶς ὄργανον κιθαρ.... ἔφερεν δὲ τοῦτο· ἦν γὰρ μετ' αὐτῆς ἡ αὐλητρίς*: Jacobs. ad Anthol. Ann. III, 1, p. 25. Lobeck. Aglaoph. II, p. 1016 sqq. — e, α: *Ἐπιγόνειον*: s. ob. §. 20. — Athen. IV, 183 C: *μνημονεύει δ' ὁ Ἰόβας καὶ τοῦ λυροφοίνικος καὶ τοῦ ἐπιγονείου, ὃ νῦν εἰς ψαλτήριον ὄρθιον μετασχηματισθὲν διασώζει τὴν τοῦ χρησαμένου προσηγορίαν· ἦν δ' ὁ Ἐπίγονος κτλ.*: Ib. XIV, 637 F: *ἔναυλον κιθάρισιν* [s. unt. §. 364, 4.], *ᾗ πρῶτοι οἱ περὶ Ἐπίγονον ἐχρήσαντο*: Poll. Onom. IV, 59: *τὸ δὲ ἐπιγόνειον ἔχει τετταράκοντα χορδὰς, ὥστε καὶ τὸ Σιμίκιον πέντε καὶ τριάκοντα*: Boeckh. M. P. 260. — β: Athen. XIV, 637 C: *ὁ Πυθαγόρου τοῦ Ζακυνθίου* [s. ob. §. 21.] *τρίπους ... ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι καὶ τοὔνομ' ἐντεῦθεν ἔσχε, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων δίφρων κατασκευάζονται θέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ πόδα διεστώσας ἐνέτεινε χορδαῖς, ὑπερθεὶς ἑκάστῃ πῆχυν καὶ κάτω προσαρμόσας χορδοτόνια, καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λέβητος καὶ τῶν

f: **Die Sambyke.**

Das Wort und seine Formen. — *Σαμβύκη* und *ἰαμβύκη*.

Die Angaben der Alten über die Erfindung der *Σαμβύκη*.

Die Parther und Troglodyten. — Sambyx. — Sibylle. — Ibykos.

Die Form der Sambyke und ihre Saitenzahl.

Der Umfang und Charakter der Sambyke. — Der Zusammenhang der *σαμβύκη* mit den Iamben.

Der Gebrauch der Sambyke bei den Spätern.

Das Verhältniſs der Sambyke zur Magadis, zum Barbiton und Trigonon.

παρηρτημένων ἐνίων ἀποδούς· ἐξ ὧν καὶ τὴν φαντασίαν εἶχεν ἀστείαν καὶ τὸν ἦχον προςέβαλλεν ἁδρότερον· διένειμε δ᾽ ἑκάστῃ χώρᾳ τὰς τρεῖς ἁρμονίας [s. ob. §. 273, c.], *τήν τε Δωριστὶ καὶ Λυδιστὶ καὶ Φρυγιστί· καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν συμμέτρως ἔχοντα τῇ συστάσει, διείρας δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολήν, καὶ τῇ ἑτέρᾳ χρησόμενος* [s. unt. §. 358, f.] *τῷ πλήκτρῳ, καθ᾽ ὁποίαν ἂν πρώτην ᾑρεῖτο τῶν ἁρμονιῶν, μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, καὶ πρὸς ἑτέραν πλευρὰν πάλιν ἐπιβάλλων ἐχρῆτο καὶ πάλιν ἑτέραν· οὕτω δ᾽ ὀξέως ὑπὸ τὴν χεῖρα προςῆγεν αὐτῷ τὰ συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυομένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον εἰθίσθη κατοξύνειν, ὥστ᾽, εἴ τις μὴ ξυνορῴη τὸ γινόμενον, ἀλλὰ διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαριστῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν ἰσχυρῶς μετὰ τὴν ἐκείνου βίον ἐξέλιπεν εὐθέως.* — f: *Σαμβύκη*: Suid. s. *σαμβύκαι· ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους* [s. ob. p. 334.] *ᾖδον· οἱ δέ, ἰαμβύκαι. ταύτην τὴν ἰαμβύκην πρῶτος Ἴβυκος ἐφεῦρεν· ἔστι δὲ εἶδος κιθάρας τριγώνου*: Hesych. s. *Ζαμβίκη· μουσικὸν ὄργανον*, v. Albert.: Hesych. s. *σαμβύκη, ἰαμβύκη*: auch *ἡ σάμβυξ*: v. Schweighaeus. ad Polyb. V, 37, 10. VIII, 6, 2. — Phot. Lex. p. 100: *ἰαμβύκη: ὄργανον μουσικόν· εἴρηται δὲ ἐν ἑτέροις καὶ ὠνομάσθη, ὥς φασιν, ὅτι πρὸς αὐτὸ ἰάμβους ᾖδον· ἡ δὲ σαμβύκη νεώτερον· καὶ ὀψὲ ὑπὸ Σάμβυκός τινος εὑρέθη*: id. ibid.: *ἰαμβύκαι: ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον· οἱ δὲ σαμβύκαι.* — Athen. XIV, 633 F: *μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύκης, ἔφη ὁ Μασούριος, ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην, διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἐποποιὸν ἐν τῷ περὶ Ἰσθμίων* [p. 83 Mein.], *χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας, τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ περὶ τῆς ἐρυθρᾶς θαλάσσης.* — Athen. XIV, 637 B: *τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν Σκάμων ὁ προειρημένος· ὀνομασθῆναι δ᾽ αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σκάμβυκος τινός*: Choerob. ap. Bekk. Anecdd. III, 1417: *Σάμβυξ Σαμβύκος κύριον, ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος*: add. Strab. X, 471 sup. p. 342. — Schneidew. ad Ibyc. Reli. p. 71. — Aristid. Quint. de Mus. II, 101: *τὴν δὲ σαμβύκην, πρὸς θηλύτητα* [sc. ἔστιν εὑρεῖν ἀναλογοῦσαν.]. *ἀγεννῆ δὲ οὖσαν καὶ μετὰ πολλῆς ὀξύτητος, διὰ τὴν μικρότητα τῶν χορδῶν, εἰς ἔκλυσιν περιάγουσαν*: v. Boeckh. Pind. II, 2, p. 655. — Athen. IV, 129 A: *ἤδη .. ἐπειςβάλλουσιν αὐλητρίδες καὶ μουσουργοὶ καὶ σαμβυκίστριαί τινες Ῥόδιαι, ἐμοὶ μὲν*

§. 358. **d: Die Kithara nebst ihren Unterarten.**

α: Die Kithara und Kitharis. — Die verschiedenen Ansichten der Alten.

Das Alter und die Erfindung der Kithara. — Apollo. — Orpheus. — Amphion. — Linos.

Die Gestalt der Kithara. — Der Ton und Umfang der Kithara. — Die Saitenzahl des Instruments. — Die Kithara in ihrem Verhältnisse zum Gesange und zu andern Instrumenten.

Die Darstellung der Lyra und der Kithara auf Kunstwerken.

Der Homerische Sprachgebrauch. — Die Spätern.

β: Die Phorminx.

Die Phorminx bei Homeros.

Das Tragband. — Die Zahl der Saiten.

γυμναὶ δοκῶ, πλὴν ἔλεγόν τινες αὐτὰς ἔχειν χιτῶνας· ἀπαρξάμεναί τε ἀπῆλθον: Fest. s. sambuca p. 325 ibiq. Mueller.: Liv. XXXIX, 6: *luxuriae enim peregrinae origo ab exercitu Asiatico invecta in urbem est. ii primum lectos aeratos, ... monopodia et abacos Romam advexerunt. tunc psaltriae sambucistriaeque et convivalia ludionum oblectamenta addita epulis*: v. Spanhem. ad Callim. h. in Del. vs. 253. Lobeck. Aglaoph. II, 1017.

§. 358, d, α: Hesych. s. *κίθαρις· κιθάρα. κιθάρισμα*: Ammon. de Differ. Vocabb. p. 82 Lugd.: *κίθαρις καὶ κιθάρα διαφέρει, φησὶν Ἀριστόξενος ἐν τῷ περὶ ὀργάνου. Κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ Κιθαρισταί, οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. Κιθάρα δέ, ᾗ χρῆται ὁ κιθαρῳδός* [s. unt. §. 361, *δ.*]· *Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου διαστέλλει καὶ φησὶν* [§. 41 Bekk., p. 67 R.] *οὕτω· περὶ αὑτῷ εἶχε κιθαριστὰς καὶ* [codd. Aesch. *ἢ*] *κιθαρῳδούς. Κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων· κιθαρῳδὸς δέ, ὁ ᾄδων καὶ ψάλλων*: Eustath. ad Hom. Il. *Γ*, 54, p. 381, 8: *κίθαρις δὲ γίνεται μὲν παρὰ τὸ κινεῖν ἢ κεύθειν ἔρωτας κατὰ τοὺς παλαιούς· Κυθερείας γὰρ ὑπόκειται εἶναι δῶρον ὡς ἀφροδίσιον, παρωνόμασται δὲ ἐκ τοῦ κιθάρα, καί ἐστιν ἴσως Αἰολικόν· διὸ καὶ προπαροξύνεται κατὰ τὸ ἑορτὴ ἔορτις*: Ahrens de Dial. L. Gr. T. I, p. 13. 158. — S. ob. §. 357, B, c: Paus. V, 14, 6: *μετὰ δὲ τοῦτον Ἀπόλλωνος καὶ Ἑρμοῦ βωμός ἐστιν ἐν κοινῷ, διότι Ἑρμῆν λύρας, Ἀπόλλωνα δὲ εὑρετὴν εἶναι κιθάρας, Ἑλλήνων ἐστὶν ἐς αὐτοὺς λόγος*: Plin. N. H. VII, 56, 204: *musicam Amphion; fistulam et monaulum* [s. unt. §. 359, *γ*, a.]. *Pan Mercurii, obliquam tibiam Midas in Phrygia, geminas tibias Marsyas in eadem gente, Lydios modulos Amphion, Dorios Thamyras Thrax, Phrygios Marsyas Phryx* [s. ob. §§. 4, A, B: 278 flgg.], *citharam Amphion, ut alii Orpheus, ut alii, Linus, septem chordis additis Terpander, octavam Simonides addidit, nonam Timotheus*: Plut. Mus. c. 1, p. 1131: Gerhard Auserles. Griech. Vasenbild. p. 88. — Forkel Gesch. d. Musik I, p. 200. — Aristid. Quint. de Mus. II, 101: *τῶν δὲ μέσων τὸ μὲν πολύφθογγον πλέον μετέχει θηλύτητος· τὸ δὲ τῆς κιθάρας οὐ πολὺ τῆς κατὰ τὴν λύραν ἀπᾴδον ἀῤῥενότητος.* — S. ob. §. 357, B, b, p. 341. — Visconti Mus. Pioclement. I, p. 32. Gerhard l. c. p. 89. — Damm. Lexic. Pind. Homer. s. v. — *β*: S. ob. §. 6, B: Gerhard l. c. p. 89. — *φόρμιγγι κιθαρίζειν* Hom. Il. *Σ*, 570: s. ob. §. 9. —

e: **Kurze Erwähnung einiger Saiteninstrumente.**
Das Wort *Χέλυς.*
Das Phoinikion oder Lyrophoinikion. — Der Skindapsos. — Der Pariambos. — Der Klepsiambos.

f: **Die Art des Spielens auf den Saiteninstrumenten.**
Die Thätigkeit der Finger. — Das *πλῆκτρον.*
Ψάλλειν. — *Κρέκειν.* — Gekniffene Saiten.
Die durch die Art des Spielens entstehende Mannichfaltigkeit in dem Vortrage der Saiteninstrumente.

§. 359. **C. Die Blasinstrumente.**

a: Die Eintheilung der Blasinstrumente im Allgemeinen.

b: **Die Syrinx.**

---

e: Suid. s. *Χέλυς· ἡ κιθάρα*: Hesych. s. *χελυνίοντα λύραις· χέλυς ἡ κιθάρα. ἀπὸ γὰρ ὀστράκου χελώνης κιθάρα γίνεται*: v. id. s. *χαλυνίοντα*, s. *χελώπη*: id. s. *χελύνη. τὰ χείλη. ἄλλοι, τὴν κιθάραν. καὶ τὴν χελώνην. καὶ λύραν. καὶ ὄργανον πολεμιστήριον*: id. s. *χελύνιον. χελώνιον. χέλυς. χελώνη. λύρα. μηχάνημα*: Orion. Etym. p. 28 s. *ἀμύμων· ... τροπὴ δὲ τοῦ ω εἰς υ, ὡς παρὰ Σαπφοῖ, χελώνη χελύνη*: v. interpp. ad Greg. Cor. p. 586 Schaef. Neue ad Sapph. frr. p. 50. Ahrens. l. c. p. 97. — Sapph. fr. 67 Schneidew.: Horat. Carm. III, 2, 3: Gesner. L. Lat. Thes. s. v. *Chelys*, s. ob. p. 341. — S. ob. §. 357, B, b, p. 341: Bojesen de Aristot. Probll. p. 81. — S. ob. §. 357, B, b, p. 341, c, *β*, a, p. 342. 343, b, p. 346. — f: Hom. Hymn. in Apoll. 185 [7]: Pind. Nem. V, 23: *ἐν δὲ μέσαις Φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων Ἁγεῖτο παντοίων νόμων*: Hesych. s. *πλῆκτρον· τὸ τῆς κιθάρας, ἐν ᾧ κινεῖ τὰς χορδάς.* — S. ob. §. 20: Suid. s. *ψαλλομένη· τιλλομένη· κυρίως δὲ ψάλλειν, τὸ τῷ ἄκρῳ τῶν δακτύλων τῶν χορδῶν ἅπτεσθαι*: Herod. I, 155. Spanhem. ad Callim. h. in Apoll. 12. — Suid. s. *κρέκουσα: .. κυρίως δὲ κρέκειν, τὸ τὴν κιθάραν κρούειν*: s. ob. §. 357, B, b. Wyttenb. ad Plut. Moral. VI, 1, p. 454. Wunderl. ad Tibull. Observv. I, 1, 4. Blomf. ad Aesch. Coephor. gloss. 808. Hoeck Kreta I, p. 225. — Zenob. Provv. II, 30 ibiq. nott.: add. Boettig. in Wiel. Att. Mus. I, p. 354. — Virg. Aen. VI, 645: *nec non Threicius longa cum veste sacerdos Obloquitur numeris septem discrimina vocum; Iamque eadem digitis, iam pectine pulsat eburno*: Gerhard l. c. 88: v. Paus. X, 30, 2. Welck. et Jacobs. ad Philostr. Imagg. I, 10, p. 261 sqq. —

§. 359, C, a: Poll. Onom. IV, 67: *τὰ δὲ ἐπιπνεόμενα ὄργανα, τὸ μὲν σύμπαν, αὐλοὶ καὶ σύριγγες.* — b: Ovid. Metam. I, 688 ibiq. Gierig.: Athen. IV, 184 A: *Μητρόδωρος δ' ὁ Χῖος ἐν Τρωικοῖς σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν ἐν Κελαιναῖς, τῶν πρότερον ἑνὶ καλάμῳ συριζόντων. Εὐφορίων δ' ὁ ἐποποιὸς ἐν τῷ περὶ μελοποιῶν* [p. 85 Mein.] *τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν, τινὰς δ' ἱστορεῖν Σεύθην καὶ Ῥωνάκην τοὺς Μήδους, τὴν δὲ πολυκάλαμον Σιληνόν, Μαρσύαν δὲ τὴν κηρόδετον.* — Tibull. II, 5, 31: *fistula, cui semper decrescit arundinis ordo: Nam calamus cera iungitur usque minor*: Poll. Onom. IV, 69: *ἐπὶ δὲ σύριγγος εἴποις ἄν, παράγειν ἐπ' αὐτῆς τὸ πνεῦμα διὰ τοῦ στόματος, καὶ παραφέρειν, καὶ διασπείρειν τὸ πνεῦμα· ἡ μὲν οὖν καλάμων ἐστὶ συνθήκη, λίνῳ καὶ κηρῷ συνδεθεῖσα. ἥ γε αὐτοσχέδιος, αὐλοὶ πολλοί, ἕκαστος κατὰ μικρὸν ὑφ' ἑκάστῳ ὑπολήγοντες, εἰς τὸν ἐλάχιστον ἀπὸ τοῦ*

Die Erfindung der Syrinx. — Beschaffenheit und Bau der Syrinx. — Die Zahl der Pfeifen. — Der Grund für die Verschiedenheit der Töne in der Syrinx. — Der Gebrauch der Syrinx.

c: Die *Σάλπιγγες* mit ihren Unterarten.

α: Die Salpinx.

Die Erfindung der Salpinx. — Athene.

Die Construction der Trompete. — Der Ton der *Σάλπιγξ*. — Einfluſs des *χαλκός*. — Der Gebrauch der Trompete.

Die verschiedenen Arten der *Σάλπιγξ*.

Der Gebrauch bei Homeros und den spätern Dichtern.

μεγάλου· κατὰ μὲν τὸ στόμα τῶν αὐλῶν ἀφιστάμενοι, ἐκ δὲ θατέρου μέρους ὑπ' ἀλλήλοις δι' ἀνισότητος ὑφεστηκότες, ὡς ὄρνιθος πτέρυγι τὸ σχῆμα προςεοικέναι: v. Theocr. Id. p. 798 sqq. Kieſsl. — Porphyr. ad Ptolem. Harm. I, p. 216 Wall.: *καὶ φανερὸν, ὅτι τοῦ πνεύματος, διὰ μὲν τοῦ ἐλάσσονος τάχιον διαθέοντος καὶ τὸν παρακείμενον ἀέρα πλήξαντος· διὰ δὲ τοῦ μείζονος, βράδιον τὸν ἐν τῷ μακροτέρῳ αὐλῷ περιεχόμενον ἀέρα προώσαντος κατὰ λόγον, ὀξύτερος μὲν ὁ φθόγγος, διὰ τοῦ τῷ μεγέθει μικροτέρου αὐλοῦ γίγνεται, βραδύτερος δὲ, διὰ τοῦ μακροτέρου. Καὶ αἱ σύριγγες δὲ τοῦτο ἐναργῶς δηλοῦσιν, ὅταν ἐξ ἀνίσων μὲν τοῖς μήκεσι μεγεθῶν γίνονται οἱ αὐλίσκοι, ἴσων δὲ τὴν τῶν κοιλιῶν εὐρύτησιν. Ὁ γὰρ μικρότερος τῷ μήκει αὐλίσκος, ὀξύτατον φθόγγον ἀποτελεῖ· ὁ δὲ μεταξὺ, ἀναλογοῦντας ἀπηχοῦσι.* — J. H. Voſs zu Virg. Idyll. II, 35: Poll. Onom. IV, 77: *ἡ δὲ ἐκ καλάμων σύριγξ Κελτοῖς προςήκει καὶ τοῖς ἐν Ὠκεανῷ νησιώταις.* — c, α: Paus. II, 21, 3: *Ἀθηνᾶς δὲ ἱδρύσασθαι Σάλπιγγος ἱερόν φασιν Ἡγέλεων. Τυρσηνοῦ δὲ τοῦτον Ἡγέλεων, τὸν δὲ Ἡρακλέους εἶναι καὶ γυναικὸς λέγουσιν τῆς Λυδῆς, Τυρσηνὸν δὲ σάλπιγγα εὑρεῖν πρῶτον, Ἡγέλεων δὲ τὸν Τυρσηνοῦ διδάξαι τοὺς σὺν Τημένῳ Δωριέας τοῦ ὀργάνου τὸν ψόφον, καὶ δι' αὐτὸ Ἀθηνᾶν ἐπονομάσαι Σάλπιγγα*: Hesych. s. *σάλπιγξ* ibiq. Albert. Gerhard Auserles. Griech. Vasenb. T. I, p. 148: Plin. N. H. VII, 56, 201: *invenisse dicunt ... aeneam tubam Pisaeum Tyrrhenum*: O. Muell. Etrusk. II, 206 flgg. — Poll. On. IV, 85: *εἰ δὲ καὶ ἡ σάλπιγξ τοῖς αὐλοῖς προςήκει, τὸ μὲν εὕρημα, Τυῤῥηνικόν· τὸ δὲ σχῆμα, εὐθεῖά τε καὶ καμπύλη· ἡ δὲ ὕλη, χαλκὸς καὶ σίδηρος· ἡ δὲ γλῶττα ὀστεΐνη*: Schol. Ven. ad Hom. Il. Σ, 219: *τῆς σάλπιγγος τῆς Ἑλληνικῆς τὸ μὲν μέγεθος ἐπίμηκες, ἡ δὲ φωνὴ παχεῖα καὶ μεγίστη, ἥτις ἐν πολέμῳ τὸ πλῆθος καλοῦσα κινεῖ.* — S. unt. §. 360, c, 𝔛. — Porphyr. ad Ptolem. I, p. 232: *χαλκὸς ὀξύτερον ψόφον τοῦ μολύβδου ἀποτελεῖ, διότι πυκνότερος ἦν.* — Suid. s. *σάλπιγξ· ἱερατικὸν τοῦτο ὄργανον· ἱερεῖς γὰρ ἐχρῶντο τῇ σάλπιγγι.* — Schol. Ven. V. ad Hom. Il. Σ, 219: *Μήλας* [v. nott. ad Zenob. Provv. V, 74.] *δὲ Ἡρακλέους καὶ Ὀμφάλης ἐν τῇ καθόδῳ τῶν Ἡρακλειδῶν ἀγαγὼν κατέπληξε τοὺς πολεμίους· σαλπίγγων δὲ εἴδη ἕξ. πρώτη ἡ Ἑλληνική, μακρὰ τὸ σχῆμα, ἣν Τυῤῥηνοῖς εὗρεν ἡ Ἀθηνᾶ, διὸ καὶ σάλπιγξ παρὰ τοῖς Ἀργείοις τιμᾶται. δευτέρα ἡ στρογγύλη, ὑπὸ Αἰγυπτίων εὑρημένη, ἣν χνοῦν καλοῦσι· χρῶνται δὲ αὐτῇ πρὸς θυσίαν, καλοῦντες τοὺς ὄχλους δι' αὐτῆς· ἣν εὗρεν Ὄσιρις. τρίτη ἡ Γαλατική, χωνευτή, οὐ πάνυ μεγάλη, τὸν κώδωνα θηρίου ἔχουσα δὲ ἔσωθεν εἰρόμενον αὐλὸν μολίβδινον, εἰς ὃν ἐμφυσῶσιν οἱ σαλπιγκταί· ἔστι δὲ ὀξύφωνος καὶ καλεῖται*

β: Das Horn.

Die Erfindung des *Κέρας*.

Die Gestalt des Horns. — Die Töne des Horns. — Der Gebrauch des Horns.

d: Die Flöte mit ihren Unterarten.

α: Die Epochen in der Ausbildung der Flöte.

Der Orient. — Die älteste Zeit in Hellas. — Homeros. Die Elegie und deren Ausbildung. — Archilochos.

β: Die Construction der Flöte und ihre Theile.

Der Stoff für die Flöten. — *Ὄλμος*. — *Ἔλυμος*. — *Γλωττίδες*. — Die Beschaffenheit und Gestalt der *γλῶτται*. — *Ὑφόλμια*. — *Καταστομίς*. — *Τρυπήματα*. — Der Zweck der *τρυπήματα* und ihre Wirkung. — Die

---

ὑπὸ τῶν Κελτῶν κάρνυξ. τετάρτη ἡ Παφλαγονική, ἥτις μείζων μέν ἐστι τῆς Ἑλληνικῆς, τὸν δὲ κώδωνα βοὸς προτομὴν ἔχει· ἔστι δὲ βαρύφωνος καὶ ἀναφυσητή, καλεῖται δὲ βόϊνος. πέμπτη Μηδική, τὸν αὐλὸν καλάμινον, τὸν δὲ κώδωνα βαρύφωνον ἔχουσα, ὀγκόφωνος· καλεῖται δὲ πέμπτη Μηδική. ἕκτη ἡ Τυρσηνική, τῷ τὸν κώδωνα κεκλασμένον ἔχουσα· ἔστι δὲ λίαν ὀξύφωνος, καλεῖται δὲ λιγῦν. ταύτης δὲ εἰσὶν εὑρεταὶ Τυρσηνοί, οὐ τῆς παρ' Ἕλλησιν. — Schol. Ven. AB ad Hom. Il. Σ, 219: *ὅτι αὐτὸς οἶδε σάλπιγγας, χρωμένους δὲ τοὺς ἥρωας οὐκ εἰσάγει*: Soph. Elect. 711. Lobeck. ad Soph. Aiac. 17. — *β*: Athen. IV, 184 A: *Τυῤῥηνῶν δ' ἐστὶν εὕρημα κέρατά τε καὶ σάλπιγγες*: Poll. Onom. IV, 75: *καὶ κέρατι μὲν αὐλεῖν Τυῤῥηνοὶ νομίζουσι.* — Porphyr. ad Ptolem. Harm. I, p. 249 Wall.: *ἀπὸ δὲ τῶν ἄλλων ὀργάνων οἱ τῶν κεράτων ἦχοι πυκνοὶ καὶ συνεχεῖς, πρὸς τὸν ἀέρα προςπίπτοντες, ποιοῦσι τὰς φωνὰς ἀμαυράς· διὸ δὴ τὸ κέρας τὴν φύσιν ἔχειν τῆς αὐξήσεως, ὁμαλὴν καὶ λείαν καὶ μὴ ταχέως ἐκδεδραμηκυῖαν· ἀνάγκη γάρ, μαλακώτερα καὶ χαυνότερα γίγνεσθαι τὰ τοιαῦτα τῶν κεράτων, ὥστε τοὺς ἤχους διασπᾶσθαι καὶ μὴ συνεχεῖς ἐκπίπτειν δι' αὐτῶν· μηδὲ γεγωνεῖν ὁμοίως διὰ τὴν μαλακότητα καὶ τὴν ἀραιότητα τῶν πόρων*: aus Aristot. *περὶ ἀκουστῶν* bei Bekk. T. II, p. 802, welche Schrift Porphyr. ausschreibt und die überhaupt viele hiehergehörige Andeutungen enthält: vrgl. dazu Schneider Eclog. Physic. II, p. 174 flgg.: Hesych. s. *κέρας: κεφαλή· θρίξ. σάλπιγξ. δύναμις. ἢ πολέμου μέρος. καὶ ἡ ἐξοχή.* — O. Muell. Etrusk. II, 204. — d, *α*: s. ob. §§. 6, B. 281, 3, *α*. 331 flgg. — S. ob. §§. 8. 9: Suid. s. *ἔλεγος. θρῆνος. ἀπὸ τοῦ ἒ ἒ λέγειν. ἢ οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι· τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι· ἢ ὅτι πρὸς αὐλὸν ᾖδοντο οἱ θρῆνοι, τουτέστιν οἱ ἔλεγοι*: v. J. Caesar de carm. Graec. eleg. orig. p. 46 sqq. — *β*: Poll. IV, 70: *τῶν δὲ ἄλλων αὐλῶν τὰ μέρη, γλῶττα, τρυπήματα. καὶ βόμβυκες* [v. Schneider. ad Scriptt. R. Rust. IV, 3, p. 392. G. Dind. ad Steph. Thesaur. L. Gr. s. v.], *ὅλμοι, καὶ ὑφόλμια.* — Poll. IV, 71: *ἡ δὲ ὕλη τῶν αὐλῶν, κάλαμος, ἢ χαλκός, ἢ λωτός, ἢ πύξος, ἢ κέρας, ἢ ὀστοῦν ἐλάφου, ἢ δάφνης τῆς χαμαιζήλου κλάδος, τὴν ἐντεριώνην ἀφῃρημένος.* — Hesych. s. *ὅλμος· .. καὶ τὸ ὑπὸ ταῖς ὑπογλουτίσιν* [sic] *ἑκατέρωθεν κοῖλον*: Phot. p. 229 angl.: *ὅλμοι· καὶ ὑφόλμια: ἐπὶ αὐλῶν· Εὔπολις Φίλοις* [fr. 6 Mein.]· *Ῥέγκειν δὲ τοὺς ὅλμους ** οἶμοι τῶν κακῶν*: Bulliald. ad Theon. Smyrn. p. 259. — Hesych. s. *ἔλυμοι· τὰ πρῶτα τῶν αὐλῶν, ἀφ' ὧν ἡ γλωσσίς.* — Phrynich. Bekk. Anecdd. I, 32, 32: *γλῶτται αὐλῶν καὶ γλῶτται ὑποδημάτων: ἃ γλωτ-*

Verschiedenheit der τρυπήματα durch die Stellung. — Die Pflöcke.

Die Verschiedenheit der Flöten rücksichtlich der Zahl der Löcher.

Die langen und kurzen Flöten und deren Verschiedenheit.

Die Art zu blasen. — Die Φορβειά.

γ: Die verschiedenen Arten der Flöte.

α: Die Verschiedenheit der Flöte nach der Bauart.

𝔄: Der Monaulos.

Die Beschaffenheit des Monaulos.

Die verschiedenen Arten des Monaulos.

τίδας λέγουσιν οἱ ἀμαθεῖς: Hesych. s. γλῶσσαι: Lob. ad Phryn. p. 229. nott. ad Zenob. Provv. V, 65. — Porphyr. ad Ptolem. Harm. I, p. 250: δεῖ δὲ καὶ τῶν αὐλῶν εἶναι τὰς γλώττας πυκνὰς καὶ λείας [aus Aristot. de Audibil. T. II, p. 802 Bekk.] καὶ ὁμαλάς, ὅπως ἂν καὶ τὸ πνεῦμα διαπορεύηται δι' αὐτῶν, λεῖον καὶ ὁμαλὸν καὶ μὴ διεσπασμένον· διὸ καὶ τὰ βεβρεγμένα τῶν ζευγῶν καὶ τὰ πεπωκότα τὸν σίαλον εὐφωνότερα γίνεται· τὰ δὲ ξηρὰ, κακόφωνα· ὁ γὰρ ἀὴρ διὰ ὑγροῦ καὶ λείου φέρεται μαλακὸς καὶ ὁμαλός: Aristot. Hist. Anim. VI, 10, p. 565 Bekk.: τὸ δὲ σχῆμα τοῦ ὀστράκου ὅμοιον ταῖς τῶν αὐλῶν γλώτταις: Schneider. ad Scriptt. R. R. IV, 3, p. 391 sq. — Hesych. s. ὑφόλμιον· μέρος τι τοῦ αὐλοῦ πρὸς τῷ στόματι, ἢ αἱ γλωττίδες· καὶ ὑπόθεμά τι: s. ob. — Hesych. s. καταστομίς· μέρος τι τοῦ αὐλοῦ, τὸ ἐνόλμιον. — Etym. M. p. 726, 53 s. στελεά. — Porphyr. ad Ptolem. Harm. I, p. 217: ἔστι τὰ γὰρ τρήματα πρὸς γένεσιν ὀξέων καὶ βαρέων φθόγγων μηχανήματα. Διὰ γὰρ ἐγγύτατα τῷ τῆς γλωσσίδος τρήματα, τουτέστι τὰ ἀνωτάτω, τάχιον τοῦ πνεύματος δι' αὐτῶν εἰς τὸν ἐκτὸς ἀέρα ἐκπίπτοντος, ὀξύτερος ὁ φθόγγος γίνεται· διὰ δὲ τῶν πορρωτέρω τρημάτων, βαρύτατος· ὅθεν ἐὰν βουληθῶσι ὀξύτερον ἀποτελέσαι φθόγγον, τὰ μὲν ἀνωτέρω τρήματα ἀνοίγουσι, τὰ δὲ κατώτερα κλείουσιν· ἐὰν δὲ βαρύτερον, τὸ ἐναντίον ποιοῦσι: add. ib. p. 235: Athen. XIV, 634 F: Ἀριστόξενος ἐν πρώτῳ περὶ αὐλῶν τρήσεως: Mahn. Aristox. frr. p. 136. — Boettig. in Wiel. Att. Mus. T. I, p. 323. — Acron. ad Horat. Epist. II, 3, 202: *Varro ait in tertio Disciplinarum et ad Marcellum de Lingua Latina, quattuor foraminum fuisse tibias apud antiquos, et se ipsum ait in templo Marsyae vidisse tibias quattuor foraminum. Quare quaterna tantum foramina antiquae tibiae habuerunt; alii dicunt, non plus quam tria:* Poll. On. IV, 80: ἦν δέ τι καὶ ὀδοντισμὸς εἶδος αὐλήσεως, καὶ τέως μὲν τέτταρα τρυπήματα εἶχεν ὁ αὐλός· πολύτρητον δ' αὐτὸν ἐποίησε Διόδωρος ὁ Θηβαῖος, πλαγίας ἀνοίξας τῷ πνεύματι τὰς ὁδούς. — Porphyr. ad Ptolem. Harm. I, p. 243: ὁ γὰρ μακρότερος αὐλὸς, βαρύτερος, ἐν ᾧ πλεῖστον τὸ πνεῦμα περὶ ὃ πᾶν ἡ κίνησις. — Schol. ad Arist. Av. 861: φόρβιον δέ ἐστι τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ· .. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶν τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειὰ διὰ τῆς ι διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως: Hesych., Suid. s. φορβειάν. Poll. IV, 70. Salmas. ad Solin. p. 585. Boettig. in Wieland Att. Mus. I, 3, p. 356. — γ, α, 𝔄: Poll. On. IV, 75: Athen. IV, 175 E: Ἰόβας ... Αἰγυπτίους φησὶ λέγειν τὸν μόναυλον Ὀσίριδος εἶναι εὕρημα, καθάπερ καὶ τὸν καλούμενον φώτιγγα πλαγίαυλον· .. τοῦ δὲ μοναύλου

Der πλαγίαυλος. — Das Wort. — Die Erfinder. — Der Stoff. — Die Form. — Der Ton. — *Λίβυς αὐλός*. — Der Gebrauch.

Der *Γίγγρας*. — Das Wort. — Die Erfinder. — Der Kult des Adonis.

Der *Νίγλαρος*. — Der Elymos.

§. 360. 𝔅: Die Doppelflöte.

Die Construction der Doppelflöte. — Die Erfindung der Doppelflöte.

Die Gröſse und die Bauart der mit einander verbundenen Flöten.

Die tibiae impares und pares der Lateiner. — Tibiae Serranae.

μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ [fr. 227.]· .. *Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς .. Ἀναξανδρίδης δ' ἐν Θησαυρῷ ἀναλαβὼν Μόναυλον ηὔλουν τὸν ὑμέναιον· .. Πρωταγορίδης δὲ .. φησί, .. τῷ τε ἥδει μοναύλῳ τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει.* — Poll. On. IV, 74: *αὐλῶν δὲ εἴδη, πλάγιος, λώτινος, Λιβύων τὸ εὕρημα· πλαγίαυλον δὲ αὐτὸν Λίβυες καλοῦσιν*: Schaef. ad Long. Pastor. p. 332. — Bion. Idyll. III, 7: *ὡς εὗρεν πλαγίαυλον ὁ Πᾶν, ὡς αὐλὸν Ἀθάνα, ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἁδὺς Ἀπόλλων.* — Theophr. περὶ φυτῶν IV, 3, 1: *ἐν Λιβύῃ δὲ ὁ λωτὸς πλεῖστος καὶ κάλλιστος*: v. Schneid. Theoph. T. V, p. 441 sq. — Poll. On. IV, 74: *κέρας .. ἀνανεῦον πρόςεστιν*: Salmas. Exercc. Plin. p. 87. J. H. Voſs zu Virg. Ecl. p. 402. — Eustath. ad Hom. Il. Φ, 280, p. 1236, 55: *καὶ ὅτι Λίβυς ὁ αὐλὸς ἐκαλεῖτο παρὰ τοῖς ποιηταῖς, ἐπεὶ Λίβυς νομάς τις τὴν αὐλητικὴν πρῶτος εὗρε*: Eurip. Helen. 169: *εἶθ' ἐμοῖς γόοις Μόλοιτ' ἔχουσαι τὸν Λίβυν Λωτὸν ἢ σύριγγας*: Iphig. Aul. 1036: *τίς ἄρ' ὑμέναιος διὰ λωτοῦ Λίβυος κτλ.*: Boettig. in Wiel. Att. Mus. I, p. 345. Monk. ad Eur. Alcest. 356. — Athen. IV, 174 F: *γιγγραΐνοισι γὰρ οἱ Φοίνικες, ὥς φησιν ὁ Ξενοφῶν, ἐχρῶντο αὐλοῖς σπιθαμιαίοις τὸ μέγεθος, ὀξὺ καὶ γοερὸν φθεγγομένοις. τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις, εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κορίννῃ καὶ Βακχυλίδῃ* [v. Neue ad Bacchyl. frr. p. 62 sqq.] *ἔστιν εὑρεῖν. ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης. μνημονεύει τῶν γίγγρων αὐλῶν Ἀντιφάνης ἐν Ἰατρῷ καὶ Μένανδρος ἐν Καρίνῃ, Ἄμφις τ' ἐν Διθυράμβῳ*: v. Schweigh. ad h. l., Poll. On. IV, 76. — Poll. On. IV, 82: *νίγλαρος δὲ μικρός τις αὐλίσκος, Αἰγύπτιος, μοναυλίᾳ πρόςφορος.*

§. 360, 𝔅: s. Gerhard Auserl. Vasenb. n. LVIII. — S. ob. §. 358, d, α, p. 348: Apulej. Florid. 3: *Hyagnis fuit, ut fando accepimus, Marsyae tibicinis pater et magister ... primus in conendo manus discapedinavit: primus duas tibias uno spiritu animavit: primus laevis et dextris foraminibus, acuto tinnitu et gravi bombo concentum musicum miscuit.* — Poll. On. IV, 80: *καὶ τὸ μὲν γαμήλιον αὔλημα, δύο αὐλοὶ ἦσαν, συμφωνίαν μὲν ἀποτελοῦντες· μείζων δὲ ἅτερος, ὅτι μείζονα χρὴ τὸν ἄνδρα* [*εἶναι*]· *οἱ δὲ παροίνιοι μικροὶ μέν, ἴσοι δ' ἄμφω· τὴν γὰρ ἰσότητα συμποσίῳ πρέπειν*: s. unt. b. — Paul. Diacon. p. 109 Muell.: *impares tibiae numero foraminum discretae*: Varr. R. R.

Der Umfang der Flöte. — Pronomos von Theben.
b: Die Verschiedenheit der Flöten nach den Tonarten. Die Dorische Flöte. — Die Phrygische Flöte. — Die Lydische Doppelflöte. — Die Flöten der übrigen Tonarten. Die *αὐλοὶ ἔλυμοι.*

I, 2, 15: *certe, inquit Fundanius, aliud pastio, et aliud agricultura, sed affinis. et ut dextra tibia alia quam sinistra, ita ut tamen sit quodam modo coniuncta, quod est altera eiusdem carminis modorum incentiva, altera succentiva. Et quidem licet adiicias, inquam, pastorum vitam esse incentivam, agricolarum succentivam, auctore .. Dicaearcho, qui Graeciae vita qualis fuerit ab initio, nobis ostendit, ut superioribus temporibus fuisse doceat, cum homines pastoriciam vitam agerent, neque scirent etiam arare terram aut serere arbores aut putare; ab his inferiore gradu aetatis susceptam agriculturam. Quocirca et succinit pastorali, quod est inferior, ut tibia sinistra a dextrae foraminibus:* Donat. de trag. et com. fin.: *agebantur* [comoediae] *autem tibiis paribus aut imparibus et dextris aut sinistris. Dextrae autem tibiae sua gravitate seriam comoediae dictionem pronuntiabant. Sinistrae et serranae acuminis levitate iocum in comoedia ostendebant. Ubi autem dextra et sinistra acta fabula inscribebatur, mistim ioci et gravitates denuntiabantur:* Donat. praef. ad Ter. Andr.: *modos fecit Flaccus Claudii filius tibiis paribus, dextris et sinistris:* Donat. ad Ter. Eunuch. praef.: *item modulante Flacco Claudio tibiis dextra et sinistra ob iocularia, multa permixta gravitate:* id. ad Terent. Adelph. praef.: *modulata est autem tibiis dextris, id est Lydiis, ob seriam gravitatem, qua fere in omnibus comoediis utitur hic poeta. saepe tamen, mutatis per scenam modis, cantica mutavit: quod significat titulus scenae habens subiectas personis litteris, M. M. C:* id. ad Ter. Phorm. praef.: *modos faciente Flacco Claudii filio tibiis serranis, totaque diverbiis facetissimis et gestum desiderantibus scenicum et suavissimis ornata canticis fuit:* Salmas. Exercc. Plin. p. 84, id. ad Vopisc. Carin. p. 820 sqq., Schneider. ad Scriptt. R. R. IV, 3, p. 390. Boeckh in Heidelb. Jahrb. 1810, fasc. 13, p. 166, id. M. P. 259. O. Mueller Etrusk. II, p. 203. — Athen. XIV, 631 E: *τὸ δὲ παλαιὸν ... ἦσαν ἴδιοι καθ᾽ ἑκάστην ἁρμονίαν αὐλοὶ καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι ἐν τοῖς ἀγῶσι. Πρόνομος δ᾽ ὁ Θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν αὐλῶν τὰς ἁρμονίας:* Paus. IX, 12, 4: *τέως μέν γε ἰδίας αὐλῶν τρεῖς ἐκτῶντο οἱ αὐληταί· καὶ τοῖς μὲν αὔλημα ηὔλουν τὸ Δώριον· διάφοροι δὲ αὐτοῖς ἐς ἁρμονίαν τὴν Φρύγιον ἐπεποίηντο οἱ αὐλοί· τὸ δὲ καλούμενον Λύδιον ἐν αὐλοῖς ηὔλεῖτο ἀλλοίοις. Πρόνομος δὲ ἦν, ὃς πρῶτος ἐπενόησεν αὐλοὺς ἐς ἅπαν ἁρμονίας ἔχοντας ἐπιτηδείως· πρῶτος δὲ διάφορα ἐς τοσοῦτο μέλη ὑπ᾽ αὐλοῖς ηὔλησε τοῖς αὐτοῖς.* — b: s. ob. §. 324, d, *β*. — Porphyr. ad Ptolem. I, p. 217: *πάλιν δὲ ἐὰν λάβῃς δύο αὐλοὺς τοῖς μὲν μήκεσιν ἴσους, τοῖς δὲ εὐρύτησι τῶν κοιλιῶν διαφέροντας· καθάπερ ἔχουσιν οἱ Φρύγιοι πρὸς τοὺς Ἑλληνικούς· εὑρήσεις παραπλησίως τὸν εὐρυκοίλιον ὀξύτερον προϊέμενον φθόγγον τοῦ στενοκοιλίου. Θεωροῦμέν γε τοι τοὺς Φρυγίους στενοὺς ταῖς κοιλίαις ὄντας καὶ πολλῷ βαρυτέρους ἤχους προβάλλοντας τῶν Ἑλληνικῶν. Καὶ ἐπὶ τούτων τὸ τάχος τῆς κινήσεως αἴτιον:* s. ob. §. 359, d, *β*, p. 351: Hesych. s. *ἐγκεραύλης. ὁ τοῖς Φρυγίοις αὐλῶν· ἔχει γὰρ ὁ ἀριστερὸς προσκείμενον κέρας:* id. s. *Βερέκυντα βρόμον· Φρύγιον αὐλόν· Σοφοκλῆς Ποίμεσιν:* Salmas. Exercc.

Die Höhe und Tiefe der nach den Tonarten geschiedenen Flöten.

Der Einfluſs der Tonarten auf die Construction der Doppelflöten.

c: Die Verschiedenheit der Doppelflöten nach deren Höhe und Tiefe.

𝔄: Die tiefen Doppelflöten.

Αὐλοὶ σπονδειακοί. — *Σπονδαύλης.* — *Αὐλοὶ δακτυλικοί.* Das Hyporchema. — Hymnen. — Die Chöre im Drama. Die Lateiner. — Tibiae sinistrae.

𝔅: Die hohen Doppelflöten.

Παρθένιοι αὐλοί. — *Αὐλοὶ παιδικοί.* — *Αὐλοὶ ἡμίοποι.*

Plin. p. 86: s. ob. §§. 281 flgg.: unt. c, 𝔄. — Herod. I, 17, s. ob. §. 287, 4, a: Boettig. in Wiel. Att. Mus. I, p. 334. — Boeckh. M. P. 259. — Athen. IV, 176 F: *τοὺς γὰρ ἐλύμους αὐλούς, ὧν μνημονεύει Σοφοκλῆς ἐν Νιόβῃ τε κἀν Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους, ὧν καὶ αὐτῶν ἐμπείρως ἔχουσιν Ἀλεξανδρεῖς· .. μνημονεύει καὶ Καλλίας ἐν Πεδήταις. Ἰόβας δὲ τούτους Φρυγῶν εἶναι εὕρημα, ὀνομάζεσθαι δὲ καὶ σκυταλίας* [Poll. IV, 82.] *κατ' ἐμφέρειαν τοῦ πάχους· χρῆσθαι δ' αὐτοῖς καὶ Κυπρίους φησὶ Κρατῖνος ὁ νεώτερος ἐν Θηραμένει.* — c, 𝔄: Poll. IV, 81: *ἥρμοττον δὲ πρὸς ὕμνους μὲν οἱ σπονδειακοί.* — Mar. Victorin. I, 11, 15, p. 2487 P.: *spondeus ... dictus a tractu cantus eius, qui per longas tibias in templis supplicantibus editur. Unde et spondulae* [l. *spondaulae:* v. Salmas. ad Vopisc. Carin. p. 824.] *appellantur, qui huiusmodi tibias inflare adsuerunt.* — Athen. IV, 176 F: *καὶ περὶ αὐλούς εἰσι μουσικώτατοι, οὐ μόνον τοὺς παρθενίους καλουμένους καὶ παιδικούς, ἀλλὰ καὶ τοὺς ἀνδρείους, οἵτινες καλοῦνται τέλειοί τε καὶ ὑπερτέλειοι· καὶ τοὺς κιθαριστηρίους* [s. unt. §. 364.] *δὲ καὶ τοὺς δακτυλικούς:* Poll. On. IV, 82: *καὶ δακτυλικούς, τοὺς ἐπὶ τοῖς ὑπορχήμασιν· οἱ δὲ ταῦτα οὐκ αὐλῶν, ἀλλὰ μελῶν εἴδη εἶναι λέγουσιν.* — S. unt. 𝔅: Varro ap. Serv. ad Virg. Aen. IX, 618: *nam tibiae aut Serranae dicuntur, quae sunt pares et aequales habent cavernas; aut Phrygiae, quae et impares sunt et inaequales habent cavernas. Ergo biforem, dissonum, dissimilem. Non enim sunt pari modulatione compositae. Ut enim ait Varro: Tibia Phrygia dextra unum foramen habet, sinistra duo, quorum unum acutum sonum habet, alterum gravem.* — 𝔅: Poll. IV, 81: *καὶ τοῖς μὲν παρθενίοις αὐλοῖς παρθένοι προσεχόρευον.* — Poll. l. c.: *τοῖς δὲ παιδικοῖς παῖδες προσῇδον:* Aristot. Hist. Anim. VII, 1, p. 581 Bekk.: *ἀλλ' ἐστὶν ἡ φωνὴ ὀξυτέρα τῶν θηλειῶν παίδων ἢ τῶν ἀῤῥένων, καὶ ὁ παρθένιος αὐλὸς τοῦ παιδικοῦ ὀξύτερος:* Solin. Polyhist. c. 5: *Thermitanis locis insula est arundinum ferax, quae accommodatissimae sunt in omnem sonum tibiarum: seu praecentorias facias, quarum locus est ad pulvinaria praecinendi: seu vascas, quae foraminum numeris praecentorias antecedunt: seu puellatorias* [cod. pal.: *puellarias*], *quibus a sono clariore vocamen datur; sive gingrinas, quae breviores licet subtilioribus tamen modis insonant: aut milvinas, quae in accentus exeunt acutissimos: aut Lydias, quas turarias dicunt.* — Athen. IV, 177 A, 182 C: *οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν*

Die Parthenien. — Die Chöre im Drama.
Die Lateiner. — Tibiae dextrae.

𝔈: **Die die Mitte zwischen den höchsten und tiefsten Tönen haltenden Doppelflöten.**

Αὐλοὶ Πυθικοί. — *Αὐλοὶ τέλειοι, ὑπερτέλειοι.* — Der *Πυθαύλης.* — Die *Πυθιὰς βοά.* — *Αὐλοὶ χορικοί.* — Der *Χοραύλης.*
Die Paiane. — Pindaros. — Die Tragödie und Komödie. Die Lateiner.

𝔟: **Die Verschiedenheit der Doppelflöten nach dem Gebrauche.**

Αὐλοὶ ἐμβατήριοι. — *Αὐλοὶ ὑποθέατροι.*

δ: **Die Art des Spielens der Flöte.**

Die Mannichfaltigkeit der Töne auf den Flöten.
Die Kunstgriffe der Flötenspieler. — Vergleich des Flötenbläsers mit dem Kitharspieler.

Ἀνακρέων [fr. 18 Bergk., 11 Schneidew.]· *τίς ἐρασμίην Τρέψας θυμὸν ἐσέβην* [l. ἐς ἥβην] *τερένων ἡμιόπων ὑπ' αὐλῶν Ὀρχεῖται; εἰσὶ δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων· .. εἰσὶ δ' οἱ αὐτοὶ τοῖς παιδικοῖς καλουμένοις, οἷς οὐκ οὖσιν ἐναγωνίοις πρὸς τὰς εὐωχίας χρῶνται. διὸ καὶ τέρενας αὐτοὺς κέκληκεν ὁ Ἀνακρέων.* — Paul. Diac. p. 74 Muell.: *Dextrarum tibiarum genus est, quae dextra tenentur*: s. ob. 𝔅. — 𝔈: Aristid. Quint. Mus. II, p. 101: *ἐν μὲν οὖν τοῖς ἐμπνευστοῖς, ἄῤῥεν μὲν ἄν τις ἀποφήναιτο τὴν σάλπιγγα* [s. ob. §. 359, C, c, α.], *διὰ τὸ σφοδρόν. θῆλυ δὲ τὸν αὐλὸν τὸν φρύγιον* [s. ob. 𝔅, b.], *γοερόν τε ὄντα καὶ θρηνώδη. τῶν δὲ μέσων αὖ τὸν μὲν Πυθικὸν, πλέον ἀῤῥενότητος μετέχοντα διὰ τὸ βάρος· τὸν δὲ χορικὸν* [s. unt. 𝔈.], *θηλύτητος, διὰ τὸ ἐς ὀξύτητα εὐχερές*: Artemid. Oneirocrit. I, 58: *αὐλεῖν δὲ Πυθικοῖς αὐλοῖς πένθος σημαίνει*: Poll. On. IV, 81: *ἥρμοττον .. πρὸς παιᾶνας δὲ οἱ Πυθικοί· τελείους δ' αὐτοὺς ὠνόμαζον*: id. ibid.: *οἱ δὲ ὑπερτέλειοι αὐλοὶ προσεφθέγγοντο ἀνδρῶν χοροῖς.* — Schol. ad Aristoph. Av. 857: *Πυθιὰς βοά*] .. *ἡ μετ' αὐλοῦ γινομένη βοή· τὸ Πύθιον μέλος. ἔνθεν καὶ πυθαύλης γίνεται, οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο ἐκ Πηλέως* [Soph. fr. 435.]: Salmas. ad Vopisc. Carin. p. 825. — Poll. On. IV, 81: *οἱ δὲ χορικοὶ διθυράμβοις προσηύλουν*: Diomed. III, 10, 30, p. 489 P.: *cuius rei indicia produnt nobis antiquae comoediae, in quibus invenimus acta tibiis paribus, aut imparibus, aut sarranis* [s. ob. 𝔅.]. *Quando enim chorus canebat, choricis tibiis, id est choraulicis, artifex concinebat, in cantico autem pithaulicis responsabat. Sed quod paribus tibiis vel imparibus invenimus scriptum, hoc significat, quod si quando monodio agebat unam tibiam inflabat, si quando synodio utrisque.* — Oudend. ad Apulej. Metam. VIII, p. 577. — S. ob. §. 346, *β*: Boeckh. M. P. 259. — 𝔟: Poll. On. IV, 82: *ἔνιοι δὲ καὶ ἐμβατηρίους* [s. unt. §. 367, B, b.] *αὐλοὺς ὠνόμαζον, τοὺς ἐπὶ τοῖς προσοδίοις· ... ὑποθεάτρους δὲ αὐλοὺς, τοὺς ἐπὶ τοῖς νόμοις τοῖς αὐλητικοῖς ἐκάλεσαν.* — *δ*: Soph. fr. 753 G. Dind.: *φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι, Ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς* [s. ob. p. 352.] *ἄτερ*: Quint. I. O. I,

ε: **Anhang.**
Κύμβαλα. — Τύμπανα. — Κρόταλα.
Der Gebrauch dieser Instrumente in der Hellenischen Poesie.

§. 361. D. Der Ethische Charakter der Instrumente.

a: Der ethische Charakter der Instrumente im Allgemeinen.
Die durch das Ethos bewirkte Uebereinstimmung der Instrumente mit den übrigen Theilen der Musik. — Die Tonarten.

b: Der ethische Charakter der Lyra und Kithara.
Die Ruhe und Gleichmäfsigkeit der Seele.

11, 6: *nec .. patietur .. simplicem vocis naturam pleniore quodam sono circumlinire, quod Graeci καταπεπλασμένον dicunt. sic appellatur cantus tibiarum, quae praeclusis, quibus clarescunt, foraminibus, recto modo exitu graviorem spiritum reddunt*: id. ib. XI, 3, 20: *nam ut tibiae, eodem spiritu accepto, alium clausis, alium apertis foraminibus, alium non satis purgatae, alium quassae sonum reddunt*: ib. 50: *illa vero iam paene apertis, ut agunt, tibiis*: v. Schneider. ad Scriptt. R. Rust. IV, 3, p. 391. — Boettig. in Wieland Att. Mus. T. I, p. 352. — Bartholin. de Tibiis I, p. 42 sqq. — ε: Hesych. *Κύμβαλον· .. εἶδος ὀργάνου μουσικοῦ*: Suid. *κύμβαλα· θυμελικὰ παίγνια*: Pind. fr. 48 Boeckh.: *σοὶ μὲν κατάρχειν, Μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων, Ἐν δὲ κεχλάδειν κρόταλα*: Hoeck. Kreta I, 220. — Phot. *Τύμπανον· ἐς δερμάτων ἐστὶ γινόμενον, καὶ κροῦον· ὃ κατεῖχον αἱ Βάκχαι*: Hesych. Suid. s. v.: Hoeck. l. c. p. 219. — Eur. Bacch. 169 sqq. — Phot. s. *κροταλίζειν*. — Boeckh. M. P. 258: *Lyrica veterum musica alia habebat instrumenta, quae pulsabantur chordis intenta, alia quae inflabantur: illae fides, hae tibiae appellatae: tympana, tintinnabula, crepitacula, tubae, numquam ei adhibitae*: Lobeck. Aglaoph. I, 298. 652: Lampe de Cymbalis Veter. p. 151.

§. 361, D, a: Aristot. Probll. XIX, 27: *διὰ τί τὸ ἀκουστὸν μόνον ἦθος ἔχει τῶν αἰσθητῶν; καὶ γὰρ ἐὰν ᾖ ἄνευ λόγου μέλος, ὅμως ἔχει ἦθος*: Aristid. Quint. de Mus. II, 100: *λεκτέον δὲ καὶ* [v. Meib. ad h. l. p. 304 sq.] *περὶ τῶν ὀργάνων, ὧν τὴν χρείαν κἀκ τῆς προσηγορίας ῥᾴδιον γνῶναι· λεγόντων γὰρ ἡμῶν ὄργανον, ἤτοι δι᾽ οὗ μόνου δυνατόν τι δρᾶν, ὡς δι᾽ ὀμμάτων ὁρᾶν· ἢ δι᾽ οὗ κάλλιστα ποιεῖν, ὡς κλῆμα δρεπάνῳ τεμεῖν· κατὰ γοῦν τὴν δευτέραν σημασίαν ἀναγκαῖα τὰ κατὰ μουσικὴν ὄργανα· εἰ γὰρ καὶ φωνῇ δυνατὸν ᾠδὴν προενέγκασθαι καὶ μέλος, ἀλλ᾽ ὅμως ἔνι καὶ τούτων χρεία. ὥσπερ γὰρ οὐδ᾽ ἡ αὐτὴ φωνή τε καὶ ἁρμονία τὸν ἅπαντα ἀκροατὴν τέρπειν πέφυκεν, ἀλλ᾽ ἡ μὲν ἑτέρους, ἡ δ᾽ ἄλλους εὐφραίνειν· οὑτωσὶ δὲ κἀπὶ τῶν ὀργάνων ἔχει· οἷς γὰρ ἕκαστος φθόγγοις ὡμοίωται κατὰ τὸ ἦθος, τούτους κατὰ τὰ πρόσφορα τῶν ὀργάνων ἀγαπᾷ τε καὶ τεθαύμακεν. ἐν μὲν οὖν τοῖς ἐμπνευστοῖς ..* [§. 360, c, 𝔊, p. 356.] .. *πάλιν ἐν τοῖς κατατεινομένοις ..* [s. ob. §. 357, c, α, p. 342: f, p. 347: §. 358, d, α.] .. *ἀῤῥενότητος. εἰ δέ χ᾽ ἕτερ᾽ ἄττα μεταξὺ τούτων ἐστὶν εὑρεῖν, οὐκ ἔστι δυςδιάγνωστος αὐτῶν ἡ φύσις, ἐχόντων ἡμῶν καθόλου χαρακτῆρας, οἷς τὰ καθ᾽ ἕκαστον ὑποτάξομεν. οὕτω καὶ ἁρμονιῶν ἑκάστη κατὰ τὴν οἰκείαν φύσιν, καὶ ῥυθμὸς ἕκαστος ὀργάνῳ τινὶ πρόσφορος.* — S. ob. §§. 288, b. 306, c, α. — b: Plat. Protag. 326 A: *πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι, μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς*

Die alte Musik der Hellenen.
Die Hypodorische Tonart.
Der geringe Umfang der Kithara.
Die *ψιλὴ κιθάρισις*. — Aristonikos von Argos. — Lysandros von Sikyon. — Stratonikos von Athen. — Das Pythikon.
Die Gründe für die Abneigung der Hellenen gegen die *ψιλὴ κιθάρισις*. — Das *Προκιθάρισμα*.

c: Der ethische Charakter der Flöte.
Die Aufregung und leidenschaftliche Stimmung der Seele.
Die Phrygische Tonart. — Die Lydische Tonart. — Die Mixolydische Tonart.

ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε ὦσι καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν: v. intt. ad h. l., ob. §§. 3. 4. — S. ob. §§. 293. 305. 331. 357, p. 343. — S. ob. §. 316. — Porphyr. ad Ptolem. Harm. II, p. 332 Wall.: *εἰδέναι δὲ καὶ τοῦτο, ὅτι οἱ κιθαρῳδοὶ τετράσιν τόνοις ὡς ἐπὶ τὸ πλεῖστον ἐχρῶντο, τῷ ὑπολυδίῳ, τῷ ἰαστίῳ, τῷ αἰολίῳ καὶ τῷ ὑπεριαστίῳ*: s. ob. §§. 295. 300. 311. 323. — Athen. XIV, 637 F: *τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησι Μέναιχμος* [G. Voss. Histor. Grr. p. 102 Westerm.] *εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῇ ἡλικίᾳ γενόμενον κατὰ Ἀρχίλοχον* [Boeckh. M. P. 258.], *κατοικήσαντα ἐν Κορκύρᾳ· Φιλόχορος δ' ἐν τρίτῃ Ἀτθίδος „Λύσανδρος (φησίν) ὁ Σικυώνιος κιθαριστὴς πρῶτος μετέστησε τὴν ψιλοκιθαριστικήν, μακροὺς τοὺς τόνους ἐντείνας, καὶ τὴν φωνὴν εὔογκον ποιήσας, καὶ τὴν ἔναυλον κιθάρισιν* [s. unt. §. 364, C, a.], *ᾗ πρῶτοι οἱ περὶ Ἐπίγονον* [s. ob. §. 20.] *ἐχρήσαντο· καὶ* [s. ob. §. 328, b, α.] *περιελὼν κτλ.*" — Athen. VIII, 352 C: *Φανίας* [s. ob. §. 28.] *δ' ὁ Περιπατητικὸς ἐν δευτέρῳ περὶ ποιητῶν* [p. 38 Vois.] *„Στρατόνικος (φησίν) ὁ Ἀθηναῖος δοκεῖ τὴν πολυχορδίαν εἰς τὴν ψιλὴν κιθάρισιν πρῶτος εἰσενεγκεῖν, καὶ πρῶτος μαθητὰς τῶν ἁρμονικῶν ἔλαβε καὶ διάγραμμα συνεστήσατο. ἦν δὲ καὶ ἐν τῷ γελοίῳ οὐκ ἀπίθανος.* — Poll. On. IV, 66: *τὸ μέντοι τῶν ψιλῶν κιθαριστῶν ὄργανον, ὃ καὶ Πυθικὸν ὀνομάζεται, δακτυλικόν τινες κεκλήκασι.* — S. ob. §. 1. — S. unt. §. 363, 3, c. — c: Aristot. Polit. VIII, 6, 5: *δῆλον δὲ ἐκ τούτων καὶ ποίοις ὀργάνοις χρηστέον· οὔτε γὰρ αὐλοὺς εἰς παιδείαν ἀκτέον οὔτ' ἄλλο τεχνικὸν ὄργανον, οἷον κιθάραν κἂν εἴ τι τοιοῦτον ἕτερόν ἐστιν, ἀλλὰ ὅσα ποιήσει αὐτῶν ἀκροατὰς ἀγαθοὺς ἢ τῆς μουσικῆς παιδείας ἢ τῆς ἄλλης. Ἔτι δ' οὐκ ἔστιν ὁ αὐλὸς ἠθικόν, ἀλλὰ μᾶλλον ὀργιαστικόν· ὥστε πρὸς τοὺς τοιούτους αὐτῷ καιροὺς χρηστέον, ἐς οἷς ἡ θεωρία κάθαρσιν μᾶλλον δύναται ἢ μάθησιν.* — S. ob. §§. 281. 282. — S. ob. §. 289. — S. ob. §. 304. — S. ob. §. 357, b, p. 343: Ovid. Fast. VI, 657: *temporibus veterum tibicinis usus avorum Magnus, et in magno semper honore fuit. Cantabat fanis, cantabat tibia ludis: Cantabat moestis tibia funeribus:* Procl. Comm. in Plat. Alcib. T. III, 41 Cous., 197 Creuz.: *κάλλιον δὲ λέγειν, ὅτι αἱ ὀρθαὶ πολιτεῖαι τὴν αὐλητικὴν ἀπεστράφησαν· οὔκουν οὔτε ὁ Πλάτων αὐτὴν παραδέχεται. τὸ δὲ αἴτιον ἡ ποικιλία τοῦδε τοῦ ὀργάνου, τοῦ αὐλοῦ λέγω, ὃ καὶ τὴν τέχνην τὴν χρωμένην αὐτῷ ἀπέφηνε φευκτήν. καὶ γὰρ τὰ παναρμόνια καὶ ἡ πολυχορδία μιμήματα τῶν*

Der grofse Umfang der Flöte.
Die *ψιλὴ αὔλησις*. — Marsyas. — Sakadas von Argos.
Volksmelodien. — Des Olympos Weisen. — *Νόμοι αὐλητικοί*. — Das *αὔλημα γαμήλιον*. — *Μοναυλία*.
Künstlichere Formen der *ψιλὴ αὔλησις*. — Die *Συναυλία*. — Das Wort und seine Bedeutung. — *Συναυλία* an den Panathenaien. — Chöre von Flötenbläsern.
Die höhere Lyrik. — Der Dithyrambos.
Die *ψιλὴ αὔλησις* oder die *Μεσαυλικά* im Drama. — Das *Διαύλιον*. — Die Tragödie. — Die Komödie.

αὐλῶν ἐστίν. ἕκαστον γὰρ τρύπημα τῶν αὐλῶν τρεῖς φθόγγους, ὥς φασι, τοὐλάχιστον ἀφίησιν, εἰ δὲ καὶ τὰ παρατρυπήματα ἀνοιχθείη, πλείους: s. ob. §. 359, d, β, p. 351 flgg.: ob. §. 357, b, p. 343. Dissen. ad Pind. Ol. VII, 12. Isthm. IV, 26. — S. ob. §. 1: Poll. IV, 79: *ὁ δὲ Σακάδα νόμος, Πυθικός*: Paus. II, 22, 9. Boeckh. ad Pind. T. II, P. 2, p. 655: Poll. IV, 81: *ηὔλουν δὲ τὸ ἄχορον αὔλημα, τὸ Πυθικόν*: Phrynich. Ecl. p. 167 Lob.: *ἀνταύλης μὴ λέγε, ἀλλὰ ψιλὸς αὐλητής, ἐπεὶ καὶ ἕτερος κύκλιος αὐλητής*, ibiq. v. interpp.; add. interpp. ad Aristot. Poet. 2. — Schol. ad Arist. Equitt. 9: *ξυναυλία καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν, Μαρσύου μαθητής· ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους*: s. ob. §. 282, b, α. — Poll. Onom. IV, 79: *καὶ Κλονᾶ δὲ νόμος αὐλητικὸς ἀπόθετός τε καὶ σχοινίων*: s. ob. §§. 331, c. 333, f. — Poll. IV, 80: s. ob. §. 360, p. 353. — Schol. ad Arist. Equitt. 9: *ξυναυλία* .. [s. ob.] .. *νόμους. Ἄλλως. ξυναυλία λέγεται* [s. unt. §. 364, 4, C, b.] *ὅταν κιθάρα καὶ αὐλὸς ξυμφωνῇ*: Athen. XIV, 618, A: *τὴν δὲ συναυλίαν τί ποτ' ἐστὶν ἐμφανίζει Σῆμος ὁ Δήλιος ἐν πέμπτῳ Δηλιάδος γράφων οὕτως „Ἀγνοουμένης δὲ παρὰ πολλοῖς τῆς συναυλίας λεκτέον. ἦν τις ἀγὼν συμφωνίας ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ, χωρὶς λόγου τοῦ προσμελῳδοῦντος." ἀστείως δὲ αὐτὴν Ἀντιφάνης φανερὰν ποιεῖ ἐν τῷ Αὐλητῇ λέγων Ποίαν κτλ.*: Lexic. ap. Hermann. de emend. rat. Gr. Gr. p. 340: *Μοναυλίαν ἄγει τις ἀντὶ τοῦ μόνος αὐλίζεται ἐν τοῖς ἑαυτοῦ. ξυναυλία δὲ λέγεται ἡ συνάθροισις δύο καὶ πλειόνων. λέγεται δὲ ξυναυλία καὶ ὅταν δύο αὐληταὶ τὸ αὐτὸ ᾄδωσιν*: Hesych. s. *ξυναυλίαν. πᾶν πρᾶγμα δισσόν* [cf. Blomf. ad Aesch. Sept. c. Theb. gl. 839.]. *τὴν ὑπὸ δύο ἐπιτελουμένην αὔλησιν. ὅταν γὰρ δύο αὐλῶσι, Ξυναυλία λέγεται.* — Poll. IV, 83: *Ἀθήνῃσι δὲ καὶ συναυλία τις ἐκαλεῖτο, συμφωνία τις αὐλητῶν, ἐν Παναθηναίοις συναυλούντων· οἱ δὲ τὴν συναυλίαν εἶδος προσαυλήσεως οἴονται, ὡς τὴν αὐλῳδίαν*: Hemsterh. ad Luc. Dial. Mar. III, 2. Boeckh. M. P. 258. — Schol. ad Arist. Pac. 534: Boeckh Staatshaush. der Athen. I, 490. — S. unt. §. 363, 3, c. — Schol. ad Aristoph. Ran. 1275: *ἑξῆς δὲ τίθεται κῶλον ἰαμβικὸν ἐφθημιμερὲς, τό, διαύλιον προσαυλεῖ. ὅπερ κατὰ παρεπιγραφὴν τίθεται. ὥσπερ καὶ τὸ, αὐλεῖ τις ἔνδον* [s. Schol. ad Ar. Av. 222: s. ob. §§. 226. 247.]*· καὶ ἄλλα πολλά. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ*: Hesych. s. *διαύλιον· ὁπόταν ἐν τοῖς μέλεσι μεταξὺ παραβάλλῃ μέλος τι ὁ ποιητὴς, παρασιωπήσαντος τοῦ χοροῦ. παρὰ δὲ τοῖς μουσικοῖς τὰ τοιαῦτα, Μεσαύλια*: Suid. s. *Διαύλειον προσαυλεῖ τις. τοῦτο παρεπιγραφή. φασὶ δὲ διαύλειον λέγεσθαι, ὅταν ἡσυχίας .. ᾄσῃ· Ἀριστοφάνης Βατράχοις*: Eustath. ad Hom. Il. *Λ*, 547, p. 862, 19: *ἦν δέ, φασι, καὶ μεσαύλιον, κροῦμά τι μεταξὺ τῆς αὐλῆς* [l. *ᾠδῆς*: v. Meibom. ad Music. Grr. praef. p. 18.] *αὐλούμενον.* — Aristid. Quint. I, 26:

d: Vergleichung der Lyra mit der Flöte.

α: Die für diese Instrumente besonders passenden Gesänge. Die erhabene Lyrik. — Der Chor. — Die Monodie.

β: Der Einfluſs der Kithara auf die Flöte.

γ: Der Einfluſs der Flöte auf die Kithara.

δ: *Κιθαριστής, κιθαρίζειν, κιθαριστική: κιθαρῳδός, κιθαρῳδέω, κιθαρῳδία: λυρῳδός, λυρῳδία.*
Αὐλητής, αὐλεῖν, αὐλητική: αὐλῳδός, αὐλῳδία.

e: Modifikationen des Ethos der Instrumente.
Apollo. — Polymnia. — Hermes. — Erato.
Euterpe. — Athene.

διπλῆ δὲ ἡ ἔκθεσις τῶν σημείων γέγονεν ἡμῖν· ... καὶ ὅπως τοῖς μὲν κάτω τά κῶλα καὶ τὰ ἐν ταῖς ᾠδαῖς μεσαυλικὰ ἢ ψιλὰ κρούματα· τοῖς δὲ ἄνω τὰς ᾠδὰς χαρακτηρίζομεν. — Soph. Elect. 1397. — d: s. ob. §. 357. — α: Aristot. Probll. XIX, 43: *διὰ τί ἥδιον τῆς μονῳδίας ἐστὶν [Χα ἀκούομεν] ἐάν τις πρὸς αὐλὸν ἢ* [*πρὸς* addit Bojesen de Arist. Problem. diss. p. 111.] *λύραν ᾄδῃ; ἢ ὅτι πᾶν τὸ ἥδιον μιχθὲν ἡδίονι ἕν ἐστιν* [Bojes. l. c.: *ἡδίονι μιχθὲν ἥδιον ἐστίν*]; *ὁ δὲ αὐλὸς ἡδίων τῆς λύρας, ὥστε καὶ ἡ ᾠδὴ τούτῳ μιχθεῖσα ἢ λύρα* [*ἢ τῇ λύρᾳ* Bojesen.] *ἡδίων ἂν εἴη, ἐπεὶ* [*ἔτι* vel *ἔτι καὶ* Bojesen.] *τὸ μεμιγμένον τοῦ ἀμίκτου ἥδιόν ἐστιν, ἐὰν ἀμφοῖν ἅμα τὴν αἴσθησίν τις λαμβάνῃ· .. ἡ μὲν οὖν ᾠδὴ καὶ ὁ αὐλός μίγνυνται αὑτοῖς δι' ὁμοιότητα· πνεύματι γὰρ ἄμφω γίνεται· ὁ δὲ τῆς λύρας φθόγγος, ἐπειδὴ οὐ πνεύματι γίνεται, ἢ ἧττον αἰσθητὸν ἢ ὁ τῶν αὐλῶν, ἀμικτότερός ἐστι τῇ φωνῇ· .. ἔτι ὁ μὲν αὐλὸς πολλὰ τῷ αὑτοῦ ἤχῳ καὶ τῇ ὁμοιότητι συγκρύπτει τῶν τοῦ ᾠδοῦ ἁμαρτημάτων, οἱ δὲ τῆς λύρας φθόγγοι ὄντες ψιλοὶ καὶ ἀμικτότεροι τῇ φωνῇ, καθ' ἑαυτοὺς θεωρούμενοι καὶ ὄντες αὐτοῖς συμφανῆ ποιοῦσι τὴν τῆς ᾠδῆς ἁμαρτίαν, καθάπερ κανόνες ὄντες αὐτῶν* [*αὐτῆς* i. e. *ᾠδῆς*, Bojes. l. c.]. *πολλῶν δὲ ἐν τῇ ᾠδῇ ἁμαρτανομένων, τὸ κοινὸν ἐξ ἀμφοῖν ἀναγκαῖον χεῖρον γίνεσθαι*: s. ob. §. 226. — β: Plat. Legg. III, 700 D: *μετὰ δὲ ταῦτα προϊόντος τοῦ χρόνου ἄρχοντες μὲν τῆς ἀμούσου παρανομίας ποιηταὶ ἐγίγνοντο φύσει μὲν ποιητικοί, ἀγνώμονες δὲ περὶ τὸ δίκαιον τῆς Μούσης καὶ τὸ νόμιμον, βακχεύοντες καὶ μᾶλλον τοῦ δέοντος κατεχόμενοι ὑφ' ἡδονῆς, κεραννύντες δὲ θρήνους τε ὕμνοις καὶ παίωνας διθυράμβοις καὶ αὐλῳδίας δὴ ταῖς κιθαρῳδίαις μιμούμενοι καὶ πάντα εἰς πάντα ξυνάγοντες κτλ.*: s. ob. §. 4, p. 6. — S. ob. c: Ulrici Gesch. d. Hellen. Poes. II, p. 159 flgg. — δ: Hellad. in Phot. Bibl. p. 529, b, 36 Bekk.: *καὶ κιθάραν λέγοντες λέγουσι καὶ κιθαριστήν, λύραν δὲ λέγοντες λυριστὴν οὐ λέγουσιν*: s. ob. §. 357, B, b, p. 341. — e: Aristid. Quint. II, 108: *διττῆς δὲ οὔσης τῆς χρησίμου μουσουργίας, καὶ τῆς μὲν πρὸς ὠφέλειαν τῶν σπουδαίων, τῆς δὲ πρὸς ἄνεσιν ἀβλαβῆ τῶν ἀγελαίων .. χρησίμου οὔσης· τὴν μὲν ἐν κιθάρᾳ παιδευτικήν, ἀνδρώδη τυγχάνουσαν, ἔθεσαν Ἀπόλλωνι· τὴν δὲ τὸ τερπνὸν ἀναγκαίως μεταδιώκουσαν, διὰ τὸ τῶν πολλῶν στοχάζεσθαι, θηλείᾳ θεῶν, μιᾷ τῶν Μουσῶν Πολυμνίᾳ περιτεθείκασι· τῆς δὲ κατὰ τὴν λύραν* [s. ob. §. 361, b, p. 357.], *τὴν μὲν πρὸς παιδιὰν χρήσιμον, ὡς ἀνδράσι πρόσφορον, ἀφώρισαν Ἑρμῇ· τὴν δὲ πρὸς διάχυσιν ἐπιτήδειον, ὡς τὸ τῆς ψυχῆς θῆλυ πολλάκις καὶ ἐπιθυμητικὸν ἐκμελιττομένην, Ἐρατοῖ περιῆψαν. Πάλιν δὲ ἐπὶ τῶν αὐλῶν, τὴν μὲν τὸ τῆς ἡδονῆς ἐφιέμενον πλῆθος ἀνδρῶν καὶ μέρος ψυχῆς καλλιεύουσαν μελῳδίαν, τῇ μετὰ τοῦ καλοῦ*

§. 362. E. Der Gesang mit Instrumental-Begleitung.

1. Das Verhältniſs des Gesangs zum Instrumente.
2. Die Begleitung des Gesangs mit der Kithara oder Lyra.
   a: Die Begleitung eines Sängers mit einer Kithara. Die Aiolische Lyrik.
   b: Die Begleitung mehrerer Sänger mit einer Kithara.
   c: Die Begleitung mehrerer Sänger oder eines Chors mit mehreren Saiteninstrumenten.
   Die *νόμοι κιθαρωδικοί*. — Terpandros.
   Die höhere Lyrik. — Das Drama der ältern Zeit. — Phrynichos.
   Die Benutzung alter Nomen und Melodien im Drama und in der Lyrik. — Der Linosgesang. — Der *νόμος πολυκέφαλος*. — Die Erhaltung und Einwirkung der Nomen. — Die Feste.
   Aischylos. — Euripides. — Aristophanes.
   Erhabenheit der Tragödie. — Die Refrains. — Parodie und Ironie in der Komödie.
   Der Chorgesang. — Die Monodien.
   Aesch. Agam. 104—121=122—139:
   Κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν

τὸ ἡδὺ παραινοῦσῃ ζηλοῦν, κατὰ τὴν προσηγορίαν, Εὐτέρπῃ προςένειμαν· τὴν δ' ὠφελεῖν δυναμένην σπανίως διὰ πολλὴν ἐπιστήμην καὶ σωφροσύνην, οὐ μὴν τέλεον τῆς φυσικῆς ἀποφοιτῶσαν θηλύτητος, οὐκέτι ἄῤῥενι θεῶν, τῇ δὲ θηλείᾳ μὲν κατὰ γένος, σώφρονι δὲ καὶ πολεμικῇ κατὰ τὸ ἦθος, Ἀθηνᾷ νέμουσι.

§. 362, E, 1: s. ob. §§. 351, c. 357, A, a. — 2, a: Plat. Alcib. I, 108 A: *κιθαρίζειν πρὸς τὴν ᾠδήν*: s. ob. §. 352, 1, a, *β*. b, *α*. — S. ob. §. 357: p. 345: Hor. Carm. IV, 9, 9: *nec si quid olim lusit Anacreon Delevit aetas: spirat adhuc amor, Vivuntque commissi calores Aeoliae fidibus puellae*: ubi v. Mitscherl. — b: Hesiod. Scut. Herc. 201 sqq. ibiq. Ranke p. 206: Pind. Nem. V, 23: s. ob. §. 6, B. — c: Hesiod. Scut. Herc. 280: *αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα κτλ.* — Poll. Onom. IV, 66: *μέρη δὲ τοῦ κιθαρῳδικοῦ νόμου, Τερπάνδρου κατανειμαντος, ἔπαρχα, ἐπαρχεῖα, μέταρχα, κατάτροπα, μετακατάτροπα, ὀμφαλὸς, σφραγὶς, ἐπίλογος*: s. ob. §. 331, b: §. 190. — Pind. Ol. I, 17: Ol. VI, 96: *ἀδύλογοι δέ νιν λύραι μολπαί τε γιγνώσκοντι*: Pyth. II, 70. VIII, 30. Nem. III, 12. X, 21. — S. ob. 283, *β*. — S. ob. §. 4, B, p. 6. — Hesych. s. *Πολυκέφαλος· τῶν κιθαρῳδικῶν τι μέλος*: s. unt. §. 363, 3, e, *α*. — Aristoph. Thesmoph. 312 sqq. coll. Fritzsch. p. 122. — S. ob. §§. 238, *β*. 245, *α*. 247, a. 248, c. — Haupt. ad Aesch. Agam. l. c.: *accedimus ad carmen difficillimum, quo iam diximus contineri chori faustas acclamationes, quibus sacrificia Clytaemnestrae prosequitur, vel solemnia vota et apprecationes, ad quae nuncupanda chorus commovetur sacro-*

ἐκτελέων. ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπὰν, ἀλκὰν σύμφυτος αἰών·
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονα τὰν γᾶν πέμπει ξὺν δορὶ καὶ χερὶ πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς ὅ τ' ἐξόπιν ἀργίας,
φανέντες ἴκταρ μελάθρων, χερὸς ἐκ δοριπάλτου παμπρέπτοις ἐν ἕδραισι,
βοσκόμενοι λαγίναν, ἐρικύματα φέρματι, γένναν
βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω. —
Arist. Ran. 1274:

Εὐριπ. Εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
Διόν. Ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
Εὐριπ. μὴ, πρὶν γ' ἀκούσῃς χἀτέραν στάσιν μελῶν.
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
Διόν. ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.
Εὐριπ. ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας,
τοφλαττόθρατ τοφλαττόθρατ,
Σφίγγα δυσαμεριᾶν, πρύτανιν κύνα, πέμπει,

---

rum istorum, quae subito conspiciebat, procuratione: ut solemnitatem auspicato inaugurandarum causam suscipere videatur. — 1. ἐκ τελέων Klaufs. — 4. τὰν γᾶν] codd.: Dind. Klaufs. ταγὰν, ταγᾶν oder ταγῇ. — 7. ἀργίας] ἀργῆς Haupt. — 12. S. ob. §. 4, A, p. 6. — 15. Schol. ad Arist. Ran. 1300: ἰήκοπον] .. ὡς ἐφυμνίῳ δὲ κέχρηται: s. O. Muell. zu Aesch. Eum. p. 91. G. C. W. Schneider de epiphthegm. verss. Aesch. 8. Weim. 1829. — 21. Schol. ad Arist. Ran. 1307: στάσιν μελῶν] στάσιμον μέλος, ὃ ᾄδουσιν ἱστάμενοι οἱ χορευταί: s. ob. §. 207: Sext. Empir. ob. p. 334, 2, c, β. — 22. Schol. ad Arist. Ran. 1308: ἐκ τῶν κιθ. νόμων] Τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταμένως: s. ob. §. 48. — 24. Schol. ad Arist. Ran. 1310: Εὐριπίδης δὲ ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπαρμένα λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων. — 25. Schol. l. c. ad vs. 1312: τοφλαττόθρατ] τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιοῦντα [v. Heinrich. epistola in qua disputantur nonnulla de Aeschylo, poeta scenico obscuro quidem, sed satis ab Atheniensibus intellecto. 4. Vratisl. 1800.]· τινὲς δὲ σημειοῦνται αὐτὸ, ὅτι διορθωτῶν τινὲς περιεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις. — 26. Schol. l. c.: Σφίγγα] ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. —

τοφλαττόθρατ τοφλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
τοφλαττόθρατ τοφλαττόθρατ,
κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
τοφλαττόθρατ τοφλαττόθρατ,
τὸ συγκλινὲς ἐπ' Αἴαντι,
τοφλαττόθρατ τοφλαττόθρατ.
Διόν. τί τὸ φλαττόθρατ τοῦτ' ἐστίν; ἐκ Μαραθῶνος; ἢ
πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη; —
Aristoph. Ran. 1309:
Αἰσχ. Ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσης
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίαις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ' ὑπωρόφιοι κατὰ γωνίας
εἰειειειειειλίσσετε δακτύλοις φάλαγγες
ἱστότονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς πρῴραις κυανεμβόλοις
μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ' ὦ τέκνον ὠλένας.

---

6. Schol. l. c. ad vs. 1321: *Αἴαντι*] *Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι· Ἀπολλώνιος δέ φησιν ἐκ Θρῃσσῶν αὐτὸ εἶναι.* — 8. Schol. ad vs. 1323: *Μαραθῶνος*] *ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος· ἑλώδης γὰρ ὁ τόπος.* — 9. Schol. l. c. ad vs. 1324: *ἱμονιοστρόφου*] *οἷον, σχοινιοστρόφου μέλη, ἃ εἰκὸς ἄνδρα ὕδατα ἀρυόμενον ᾄδειν· .. καὶ τὸ ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντλῆται, ἱμαῖον* [*καλεῖται*]. — 10. Arist. Ran. 1298: *ἀλλ' οὖν* .. [s. ob. §. 283, *β.*] .. *δρέπων· οὗτος δ' ἀπὸ* .. [s. ob. §. 282, *α.*] .. *δηλωθήσεται. ἐνεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ Λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις Αὕτη κροτοῦσα; Δεῦρο Μοῦσ' Εὐριπίδου, Πρὸς ἥνπερ ἐπιτήδεια τάδ' ἐστ' ᾄδειν μέλη:* wo Schol. ad vs. 1332: *ὀστράκοις*] *ἀπορίᾳ λύρας ὄστρακα τινὲς λαμβάνοντες, ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον. διαβάλλει δὲ ἐντεῦθεν Εὐριπίδην ὡς κακὸν μελοποιόν.* — Eur. Phoeniss. 784. — 11. Schol. ad vs. 1336: *ἀλκυόνες*] *χαρακτηρίζουσι τὰ Εὐριπίδου μέλη, ὡς ἐκλελυμένα.* — 12. Schol. ad vs. 1337: *κύμασι*] *ἔστι δὲ τὸ προεγκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι.* — 16. Schol. ad vs. 1341: *εἰειειειει*] *ἡ ἐπέκτασις τοῦ εἱλίσσετε κατὰ μίμησιν εἴρηται τῆς μελοποιίας.* — 17. Schol. ad vs. 1343: *ἱστότονα*] .. *τὸ δὲ κερκίδος ἐξ Μελεάγρου Εὐριπίδου· τὸ δὲ ἵν' ὁ φίλαυλος, ἐξ Ἠλέκτρας* [vs. 435.]. — 21. Schol. ad vs. 1348: *οἰνάνθας*] *παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου· οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν· . καὶ τὸ περίβαλλ' ὦ τέκνον, ἐξ Ὑψιπύλης.* — S. ob. p. 276 flgg.

§. 363. 3. **Die Begleitung des Gesangs mit der Flöte.**

A, a: Die Kunst der Flötenbläser.

Die Geltung der Flösenbläser. — Die alte und die neue Zeit.

b: **Die Begleitung eines Sängers mit einer Flöte.**

Die Lyrik. — Terpandros. — Alkman.

Die Tragödie. — Der *νόμος ἁρμάτειος*. — Die Komödie. — Die Parabase.

Eur. Orest. 1381: *Ἴλιον, Ἴλιον, ὤμοι μοι,*
Φρύγιον ἄστυ καλλίβωλον, Ἴδας ὄρος ἱερόν, ὥς σ᾽ ὀλόμενον στένω,
ἁρμάτειον ἁρμάτειον
μέλος βαρβάρῳ βοᾷ,
δι᾽ ὀρνιθόγονον ὄμμα κυκνόπτερον
καλλοσύνας Λήδας σκύμνου, δυςελένας,
ξεστῶν περγάμων Ἀπολλωνίων

---

